**ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ**

*ΤΟΜΟΣ ΙΘ΄.—31 Δεκεμβρίου 925.—ΤΕΥΧΟΣ Δ΄.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

# ΕΠΙΣΤΟΛΑΙ
# ΕΚ ΤΟΥ ΒΙΕΝΝΑΙΟΥ ΚΩΔΙΚΟΣ PHIL. GR. 342[1]

## ΘΕΟΔΩΡΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΥΖΙΚΟΥ

α΄

**Κωνσταντίνῳ βασιλεῖ**

Ἐκ τῆς Κυζίκου προσκυνῶ καὶ προσφθέγγομαι τὸν πρὸ πάντων ἐν τῇ Κωνσταντίνου μοι τιμιώτερον καὶ παρὰ πάντας ποθούμενον, ἀλγῶν μὲν καὶ ἐπ' ἄλλοις πολλοῖς, πλέον δὲ ἐπὶ τῷ στερηθῆναι καὶ τῆς ἀμυδρᾶς καὶ διὰ παραπετασμάτων ὁμιλίας καὶ θεωρίας σου. Τοιαύτη γὰρ ἡ δοκοῦσα τοῖς πολλοῖς εὐτυχία μου, στέρησις δεσπότου φιλτάτου καὶ ἀγαθοῦ, ὑπερορία τῆς θρεψαμένης καὶ ἐθάδων διατριβῶν φίλων χωρισμὸς καὶ συνήθων καὶ ὁμιλικίης ἐρατεινῆς, εἶπεν ἂν Ὅμηρος, οἴκων ἱερῶν καὶ κάλλους πόλεως καὶ λόγων καὶ συλλόγων καὶ προόδων λαμπρῶν ἀποξένωσις, οἰκίας οὐ φαύλης, ἀλλ' ὑπὲρ τὰς πολλὰς καὶ πόνους οἰκείων ἐχούσης χειρῶν, ἀέρος ὑγιεινοῦ, ὕδατος διειδοῦς καὶ ὄντως ἐκ πέτρας μέλι κατὰ τὴν ἡδονήν, ἐν ἄστει ἀγροῦ, ὃ καὶ παράδοξον, ἡδεῖαν σχολὴν παρεχομένου καὶ δίαιταν, ἀλλοτρίωσις, τὸ πάντων μεῖζον ἐμοί, ἀπραγμοσύνης καὶ ἐλευθερίας καὶ τοῦ τὰ οἰκεῖα μόνα σκοπεῖν, ὥσπερ ἀπό τινος ἱεροῦ ἀσύλου ἀφελκυσμός, ἑτέρων ἀφαίρεσις οὐκ ὀλίγων καλῶν, ἃ καὶ ἀπαριθμεῖσθαι ὄκνος ἐμοί, καὶ τὸ λήθην τούτων λαβεῖν ἐν εὐχῇ. Τίνα δὲ ἀντὶ τούτων ἔστι μοι γοῦν; Πόνος νοσώδης καὶ χαλεπός, ὕδωρ φαῦλον καὶ φαρμακῶ-

α΄. Περιλαμβάνεται ἐν φ. 52β—54α τοῦ Βιενναίου κώδικος Phil γr 342.

1. κιζύκου 6—7 διαταιβαὶ 11. Γραπτέον μέλιτος; 16—17 ἔστὶ (καὶ κατωτέαω γ'οῦν.

1. Συνέχεια ἐκ τοῦ προηγουμένου τεύχ. Β΄—Γ σ. 191.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δες καὶ μοχθηρόν, οἶνος χυδαῖος καὶ ὑδατώδης καὶ εὔωνος, οἰκίαι κατεστραμμέναι, τείχη περιῃρημένα, ἐρείπια πολλὰ καὶ κολωνοὶ μεγάλοι στηλῶν καὶ τάφων ἀνατετραμμένα ἐγκαταλείμματα καὶ παρατεθραυσμένων ἐπιγραμμάτων τεμάχια, παλαιᾶς εὐδαιμονίας ἐν μὲν γράμμασιν ἀμυδρὰ λείψανα, ἐν δὲ λίθων μεγέθεσι καὶ λίαν ἐπίσημα. καὶ τὸ δὴ σχετλιώτερον, ἄνθρωποι μόνην ἔχειν μαρτυρούμενοι σὺν ἀπαιδευσίᾳ τὴν μαρτυρίαν τῶν ἀποικισάντων αὐτοὺς χωρὶς τῆς ἄλλης ἀρετῆς· Ἑλλάδος γὰρ καὶ οὗτοι φημίζονται ἄποικοι. Λέγεται δὲ καὶ κώνωπας φέρειν ὁ τόπος γενναίους, καὶ μάλιστα κατὰ τὸν τοῦ θέρους καιρόν, ὑπὲρ αὐτοὺς φησι τοὺς ἐλέφαντας τῶν Ἰνδῶν, καὶ μύας μεγέθει μὲν ὑπὲρ τοὺς κανθάρους, πλήθει δὲ ὑπὲρ τὴν παράλιον ψάμμον. Ψύλλαι δὲ καὶ νῦν εἰσι, μεσοῦντος ἤδη χειμῶνος, ὑπὲρ τὴν ἀπὸ Σωκράτους πρὸς Χαιρεφῶντα πηδήσασαν, ἧς αἱ ἐκ κηροῦ κατὰ τὸν παίξαντα περσικαὶ τὸ τοῦ ἅλματος ἀνεμέτρουν διάστημα. Εἰσὶ δὲ καὶ τούτων χωρὶς φροντίδων ἐπιρροαί, ἀρχόντων ἐπιδρομαί, πραγμάτων ἐπιθέσεις, ἐπηρειῶν προσδοκία, ἀδικουμένων προσανακλαύσεις καὶ πρὸς βοήθειαν ἔγκλητοι οἰμωγαί, ἄλλοτε ἄλλων ὑποθέσεων πρὸς ἄλλο καὶ ἄλλο περιδινήσεις καὶ ἀνθολκαὶ καὶ πάλιν κατ' ἄλλο μέρος οἱ παρὰ τῶν ὥςπερ ἐν θεάτρῳ πάντα ἐπιτηρούντων ἀκριβῶς τὰ ἡμέτερα διαγογγυσμοὶ καὶ τὸ Μάτην ἄρα ἠλπίζομεν, καὶ Εἰς κενὸν τὸ καὶ τὸ περὶ τοῦδε παρὰ πολλῶν ᾔδετο καὶ ὅσα ἄλλα οἶδεν ὁ δεσπότης ὁ ἔξω τοῦ πραγμάτων αὐτόνομος λογισμὸς τοῦ σχολάζοντος ὄχλου ὡς ὀφειλόμενα ἀπαιτεῖν.

Τοιαῦτα τὰ ἐμὰ εὐτυχήματα. Τίς οὖν παρηγορήσει, τίς παραμυθήσεται, τίς μου καταστείλῃ τὸν ἐπὶ τούτοις θόρυβον τῆς ψυχῆς, εἰ μὴ ἀντὶ τῆς Ὀρφέως λύρας καὶ τοῦ Σειρήνων μέλους ἢ τούτων ἐμοὶ ποθεινοτέρα ἔλθοι σου φωνή, ἥ μου τὰς ὀδύνας ἰάσεται καὶ ὥςπερ τι παιώνειον ἄκος γενήσεται τῇ ψυχῇ. Εἰ δὲ δοίη θεὸς καὶ τὸ ἀνακλητικὸν ἐλευθερίας μέλος οὐκ εἰς μακρὰν αὐτόθεν ἠχηθῆναί μοι, τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς κατὰ τὴν παροιμίαν καὶ πηδήσει γῆρας τοῖς εὐαγγελίοις ἀναρρωννύμενον καὶ ἀσθενήσει ὄντως ἀσθένεια καὶ δραπετεύσει νόσος, τῆς εὐφροσύνης ἀπελαυνούσης ἅπαν δυσαχθὲς καὶ κακόηθες. Ἴσως κατελήρησά σου καὶ τὰς ἀκοὰς παρηνώ-

8. Πρβλ. Ἀριστοφάνους Νεφέλας 144 κ. ἑ. 27. ὥςπερ. 30. ἀλεῖται

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χλησα, ἀλλὰ σύγγνωθι· ὅ τε γὰρ πόθος καὶ ἡ ἐλπὶς τοῦ μὴ συντόμως αὖθις γράψαι τὸ πλῆθος ἐποίησεν.

β΄.

**Τῷ αὐτῷ.**

Πῶς σοι παραστήσω τὴν ἡδονήν, γλυκύτατε καὶ ποθούμενε δέσποτα, ἥν μοι πρὸς τὴν καρδίαν κατέσταξεν ἡ πάνσοφός σου καὶ μελισταγὴς τῶν λόγων σειρήν; Τῷ ὄντι γὰρ οἷον ἀρωματώδεις ἢ οἷον ἀμβρόσιοι σταγόνες ἢ τοῦ μάννα ἐκείνου τοῦ παλαιοῦ ὑετοῦ ἢ νάρδου καὶ βαλσάμου κρουνοὶ κατέρρεόν μου πρὸς τὴν ψυχὴν οἱ ἀνθηροὶ καὶ εὐώδεις καὶ τοῖς τῆς σοφίας πυκαζόμενοι ἄνθεσι λόγοι σου, καί, ἐπεί με ἕτεραι τῶν συνήθων γραφαὶ διετάραξαν τὴν τῶν χρηστῶν μου συλλειτουργῶν δηλωθεῖσαν διάθεσιν καὶ τὰς σκευάς, πρὸς τὴν θαυμασίαν ὑμῶν ἀποβλέπων ἐπιστολὴν καὶ ταύτην συνεχῶς ἀνελίττων καὶ πολλάκις διεξιών, ἅπαντα τὸν ἐκεῖθέν μοι ἐγειρόμενον κατέστελλον θόρυβον. Οὕτως ἦν ἡδονῆς μεστὴ καὶ εὐφροσύνης καὶ χάριτος, οὕτως ἦν σοφίας μεγάλης καὶ συνέσεως ἄκρας καὶ διαθέσεως ἀγαθῆς καὶ ἀγχινοίας παντοίας ἀνάπλεως. Οὐχ οὕτω γὰρ λειμὼν παντοίοις εἴδεσιν ἀνθέων βρύων τὴν αἴσθησιν ἑστιᾷ οὐδ' οὕτω τέρπει ταὼς ὁ μηδικὸς ὄρνις καὶ ἀλαζὼν τὸ κάλλος θεατρίζων, ὅτ' ἂν κυκλοτερὲς τὸ πτερὸν περιστήσῃ τὸ χρυσαυγὲς καὶ κατάστερον, ὡς ἔτερπον ἐμὲ οἱ τῶν λόγων ἀστέρες σου καὶ εἱστία ὁ σὸς ὡραῖος λειμών, ἐν ᾧ τὸ ἀκήρατον μέλι ἡ τῆς σοφίας ἐκηροπλάστει σοι μέλισσα. Ταύτην οὕτω θέλγουσαν ἐπιστολὴν ἰδὼν Ὅμηρος ἀπείκασεν ἂν τῇ τοῦ Διὸς αἰγίδι ἢ τῷ τῆς Ἀμαλθείας κέρατι ἢ τῷ τῆς Ἀφροδίτης κεστῷ ἢ τῇ χρυσῇ ῥάβδῳ Ἑρμοῦ ἤ τινι τῶν τοιούτων, ἃ διαφερόντως ἐκεῖνος ὡς θαυμάσια τῶν ἄλλων ἐξαίρει τε καὶ ἀνυμνεῖ. Καὶ γὰρ ἦν ὅλη καλὰ καὶ λαμπρὰ καὶ τῷ ὄντι χρυσῆ, τὸ δὲ ἀκροτελεύτιον, Ἡράκλεις, ὅπως τε εἶδον καὶ ὅπως τοῖς ὀφθαλμοῖς περιέθηκα κα τῷ στόματι κατεφίλησα, αὐτὴν δοκῶν τὴν

β΄. Περιλαμβάνεται ἐν φ. 54α—56α τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

5. ἀρματώδεις 6. σταγῶνες 10. δηλωσάντων 18. Ἐν τῇ ᾠᾷ Ἐκ τοῦ θεολόγου 24. (καὶ ἀλλαχοῦ). τὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γράψασαν χεῖρα ἀσπάζεσθαι καὶ τὴν ὑπαγορεύσασαν γλῶσσαν καὶ τὸν γεννήσαντα νοῦν ἀσωμάτως καὶ νοερῶς περιπτύσσεσθαι, ἅπερ ἐδόκει μοι οἷον ἐν σηρικῷ ἱματίῳ πορφύρας ἐπίβλημα ἢ οἷον μαργάρων ὅρμος ἢ χρυσοῦς κροσσωτὸς ἢ λίθων τιμίων πολύτιμον ἀπαιώρημα· ἃ καὶ ὡς θησαύρισμα φέρω ἐγκόλπιον καὶ ὡς σύμβολον ἀποδημούσης ὄψεως περιέπω καὶ ἀγκαλίζομαι καὶ ὡς ἀρραβῶνα φρουρῷ τῷ καιρῷ τῆς παλιγγενεσίας μοι φυλαττόμενα. Χάρις οὖν τῷ τῶν ἀγαθῶν δοτῆρι Χριστῷ τῷ θεῷ τῷ διὰ τοῦ χριστοῦ αὐτοῦ καὶ ἐκλεκτοῦ παραμυθησαμένου με, ἀποστείλαντος τὸν τῆς ψυχῆς αὐτοῦ ἄγγελον πρὸ προσώπου μου, ὃς τὴν ἐξ ἀκηδίας ἀθυμίαν παρεμυθήσατο καὶ ταῖς ἐλπίσιν ἀνέρρωσε καὶ πάντα μου τὰ ἐκ τῆς λύπης ἰάσατο τραύματα. Ἐγὼ δέ, καὶ πρότερον πυρπολούμενος καὶ οἷον ἐμπυριζόμενος τὴν ψυχὴν τῷ περὶ σὲ πόθῳ, πῶς οἴει νῦν ἐξεκαύθην τῷ δροσοβόλῳ πυρὶ καὶ φωτὶ τῆς ἀγάπης σου ἐκ τῆς τοιαύτης γραφῆς, ἢ καὶ λίθων φύσιν καὶ δένδρων, προσέτι καὶ ἀγρίων θηρῶν ἱκανὴ ἦν πρὸς τὸ περὶ σὲ φίλτρον ἑλκῦσαι καὶ ἐκκαλέσασθαι καὶ πεῖσαι ὀπίσω τρέχειν τοῦ μύρου τῆς φιλικῆς εὐωδίας σου, ἥπερ, ἡ τοῦ Ὀρφέως, ὡς ὁ λόγος, λύρα τὰ ἄψυχα θέλγουσα ἀκολουθεῖν αὐτῷ κατηνάγκαζεν. Εἰ δὲ ἡ δοκοῦσα σκιώδης καὶ ἄψυχος φωνὴ ἐγγράμματος τοσοῦτον ἔχει τὸ ἔμψυχον, τίς ἂν εἴη ἡ ἀπ' αὐτοῦ τοῦ θειοτάτου μοι προχεομένη σου στόματος, ἧς μὴ ἐπὶ πολὺ στερηθείημεν, ὦ κτίστα καὶ πλάστα καὶ τοῦ σοῦ πλάσματος κηδεμών, ἀλλὰ δὸς αὐτὴν εἰς κοινὸν ὄφελος δημοσιευθῆναι καὶ πᾶσιν ἐμφανίσαι τὰ θέλγητρα τῆς ψυχῆς καὶ τὰς ἴυγγας, ἕως ἔτι καὶ ἐγὼ ζῶ καὶ βλέπω τὸν ἥλιον, ἵνα μή, τοιούτου στερηθεὶς ἐν τῷ βίῳ καλοῦ, κατώδυνος πορευθῶ πρὸς τὴν ἐκεῖθεν διαγωγήν, ἐπεὶ τῶν ἀττικῶν τεττίγων λαλίστερος γέγονα διὰ σέ. Ἀλλὰ σύγγνωθι· νόμον γὰρ κρείττονα πληρῶ, τὴν σὴν προτροπήν, ἥ μοι πάντων ἐστὶ προσφιλεστέρα καὶ νόμων καὶ διατάξεων.

4—5 ἀπηώρημα 6. ἀραβῶνα 10. αὐτοῦ 16 ἑλκύσαι. 20. Ἐν τῇ ὤᾳ φωνὴ λέγει ἔμψυχος 21. μου 23. ὤφελος

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## γ'.

### Ἄλλη [τῷ αὐτῷ]

Νῦν οἶδα, ὅτι οὐ πάνυ εἰμὶ ἐγκαταλελειμμένος ὑπὸ θεοῦ, οὐδὲ πείσομαί τι δεινὸν παρὰ τῶν ὠρυομένων τὴν ψυχήν μου λαβεῖν, ὅτι σὺ ὁ τοῦ Κυρίου χριστός, ὁ πατρικαῖς ἐλπίσιν ἢ μᾶλλον εὐχαῖς καὶ σιλληφθεὶς καὶ γεννηθεὶς καὶ εἰς τόδε ἡλικίας ἀναδραμὼν καὶ ὑπὸ θεοῦ φυλαττόμενος μέχρι γήρως καὶ πρεσβείου. Ναί, Κύριε καὶ θεέ, οὕτω τοῦ ἐλαχίστου κήδη καὶ οὕτω φροντίζεις περὶ ἐμοῦ· καὶ μεριμνᾷς καὶ πονεῖς καὶ συμβουλεύεις καὶ παραινεῖς καὶ ταῖς χρηστοτέραις ἐλπίσιν ἀναρρωνύων οὐκ ἐᾷς τῷ τῆς ἀθυμίας καταβαπτισθῆναι βυθῷ· μάλιστα ὅτι ἣν ἐκ πολλῶν ἡμερῶν ἐν τῇ διανοίᾳ μου ἔφερον οἰκονομίαν τοῦ μακαρίου Παύλου, ταύτην εὕρηκα διὰ τῶν μελισταγῶν γραμμάτων σου ὑποτιθεμένην μοι. Ὅθεν ὡς ἐκ θεοῦ ταύτην δεξάμενος, ἐπεὶ οἱ φιλάδελφοι καὶ χρηστοὶ Νικολα·ΐ·ται ἀγριώτεροί μοι τοῦ Ἀγρικολάου γεγόνασι καὶ οὐδ' ὅσον ἐκεῖνος τῷ κρινομένῳ δέδωκε, τοσοῦτον οὗτοι ἐμοὶ συνεχώρησαν. Ἐκεῖνος μὲν γὰρ κἂν τὴν ἐπὶ σχήματος δικαιολογίαν ἀπένειμεν καὶ λογισμῷ τὰ πράγματα κρῖναι διωμολόγησεν· οὗτοι δὲ οὐδὲ ψιλῆς ἀπολογίας μετασχεῖν ἐμὲ συνεχώρησαν, ἀλλ' εἰ μόνον τὸ στόμα διᾶραι βουληθῶ, καθαιρέσει με καθυπέβαλον. Ἐπεὶ τοῦτο ἦν, καὶ οἶδα, ὅτι ἐκλέλοιπεν ὅσιος καὶ οὐδεὶς εὑρέθη ὁ πρὸς τὴν οὕτω δικαίαν ἀπόφασιν ἐναντιωθείς, ἀλλὰ πάντες ὡς ἐπυθόμην ταῖς ἑτοίμαις εἰς τὸ παράνομα δρᾶν χερσὶ καὶ γράφειν αὐτὴν ἐβεβαίωσαν, μὴ βουλόμενος λυπῆσαι μὲν τοὺς φιλοῦντάς με, εὐφρᾶναι δὲ τοὺς ἐχθρούς, οἷς πως καταθύμιον ἂν ἐφάνη ἀπὸ τοῦ μέσου ἐμὴ ἐκβολή· καὶ γὰρ ἔδραμον ἐν δίψει τὴν τιμήν μου ἀπώσασθαι βουλευσάμενοι, χρησάμενος τῇ οἰκονομίᾳ καὶ ἔγραψα, ὅτι, εἰ ἐπὶ τούτῳ πᾶσα ἡ ἐκκλησία ὁμοφωνεῖ καὶ πᾶσι τοῦτο νομίζεται δίκαιον καὶ οὐδεὶς ἕτερος ὁ ἀντιλέγων ἐστίν, ἐγὼ μόνος ταῖς πάντων γνώμαις ἐναντιοῦσθαι οὐ βούλομαι, οὐδὲ πρὸς τὰ πᾶσι δεδογμένα κοινῇ ἐμὲ μόνον οἴομαι δεῖν ἀπειθεῖν, ἀλλὰ τοιούτων ἱερέων συντόμῳ καὶ ὁμοψήφῳ ἀποφάσει, ὅπως ἂν ἔχῃ

γ'. Περιλαμβάνεται ἐν φ. 56α—58β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

8. τὸ τῆς 17. διάραι 22. εὐφράναι 29. κρίνει

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὑποταγήσομαι. Ἐν γὰρ ἀδυνάτῳ τοῦ μεταστῆσαί τι τῶν μὴ καλῶν ἑαυτοῦ ἀφειδεῖν ἀλόγιστον ἢ μανικόν. Εἰς τοῦτο γὰρ νῦν περιέστη τὰ κατ' ἐμέ, κοσμοπόθητε βασιλεῦ, ὅτι καὶ Ἰουδαίων μιαιφονώτεροι οἱ περὶ ἐμὲ κατέστησαν δικασταί. Καὶ γὰρ ἐκείνων λεγόντων μὴ ὁ νόμος κρίνῃ τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον καὶ γνῷ τί ποιεῖ, καὶ τῶν νόμων καὶ τῶν κανόνων ἐφ' οἷς τις ἔπραξεν ἢ ἐφ' οἷς εἶπεν εὐθυνόντων ἀεὶ τὸν κρινόμενον, ἐγώ, μήτε λόγου ἀξιωθείς, μᾶλλον δὲ καὶ ὅλως εἰπεῖν τι κωλυθείς, μήτε πράξας τι τῶν κεκωλυμένων θεοῦ χάριτι μήτε εἰπών, καθαιρετικῆς ἀποφάσεως ὑπεβλήθην ποινῇ. Ἐφοβήθησαν γὰρ οἱ κατὰ πάντα φιλάδελφοι, μή, κατεπᾳσθέντες τοῖς περὶ τῶν δικαίων λόγοις, ἡμερώτεροι γένωνται, καὶ διὰ τοῦτο τὸν τρόπον ἐμιμήσαντο τῆς κωφῆς ἀσπίδος καὶ βυούσης τὰ ὦτα αὐτῆς. Ἡ οὖν ἀπραξία καὶ ἡ σιγή, ἃ μέχρι νῦν οὔτε ἐπαίνων οὔτε κολάσεων ἄξια ἦν, οὕτως ἰσχυρῶς ἐκδεδίκηνται. Οἱ τὰ ἄθεσμα πράττοντες καὶ τὰ ἄνομα λέγοντες τίνα δόντες δίκην τὴν ἀξίαν δεδωκότες ὦσιν; Εἶδες, Κύριε, μὴ παρασιωπήσῃς, μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Ἵνα τί ὑπνοῖς, Κύριε; ἵνα τί ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν; Ἀνάσχου γάρ με, γλυκύτατε δέσποτα, κενῶσαι τῆς ψυχῆς τὸ λυπούμενον. Ἐγὼ τοιαύτην κρίσιν οὐδ' οἶδα πλὴν ἐπὶ τῶν μαρτύρων· ἢ θῦσον ἢ τιμωροῦ καὶ ἀπόθνησκε. Ἀλλὰ τὸ μὴ ἀντιλέγειν ὅλως οὐδὲ ἐκείνοις ἀφῄρητο. Εἰ οὖν καὶ ἐμοὶ ὄνομα καὶ ἐλπὶς τοιαύτη καὶ κοινωνοὶ καὶ ἕτεροι τῆς ἀθλήσεως, πάντα ἂν μετὰ θεοῦ ἀπεδυσάμην πρὸς τοὺς ἀγῶνας. Ἐπεὶ δὲ οὔτε κοινωνός μοι περιελείφθη τῆς ἀγωνίας οὔτε ὅμοιον τὸ ὄνομα, οὔτε ἡ ἐλπὶς ἀναμφίβολος, ἐγένοντό μοι συμβουλίαι τὰ κρίματά σου καὶ οὐ καθῆκα τῆς ἄγαν ἐνστάσεως οἰκονομεῖν ἀντὶ τοῦ εἰς εὐσέβειαν οἰκοδομεῖν ἐξ ἀνάγκης ἑλόμενος. Ὅτ' ἂν καὶ καιρὸς τῷ κρίνειν εἰδότι εὐθύτητα, τότε καὶ τὰ τοιαύτης ἐπιβοήσομαι κρίσεως. Νῦν δὲ δοξάζω καὶ μεγαλύνω τὸν Κύριον, ὅτι με τὸν τοσούτῳ τόπῳ διεστηκότα σου ὑπὸ σοῦ φροντίζεσθαι κατηξίωσε καὶ μέλειν σοι πεποίηκε περὶ ἡμῶν· ἀνθ' ὧν αὐτὸς οὗτος ὁ Κύριος πάντα πληρώσαι τὰ αἰσθήματα τῆς καρδίας σου καὶ κα-

13. αὔτῆς 18. ἵνατὶ ἐπιλανθάνῃ 22. Ἀπέναντι τοῦ ἀφῄρητο ἐν τῇ ᾤᾳ. Γράφεται καὶ ἀπείρητο. 23. ἕτ$^{ε}_{αι}$ροι 31. μέλλειν 32 πληρῶσαι

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τευθύναι σου τὰ πρὸς αὐτὸν διαβήματα καὶ ἀνώτερον θήσει ὁρωμένων πάντων καὶ ἀοράτων ἐχθρῶν καὶ θᾶττον ἐγχειρήσαι σοι τῆς αὐτοῦ κληρονομίας τοὺς οἴακας, εἴ γε ὅλως μέλει περὶ ἡμῶν, πρὶν ἢ τελέως γενώμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρχεν ἡμῶν οὐδενὸς περιλειπομένου τοῦ συνιόντος ἢ ἐκζητοῦντος αὐτὸν ἢ πορευομένου ἐν τοῖς ὁδοῖς αὐτοῦ.

δ´

**Τοῦ αὐτοῦ**

Εἰ καὶ ἀπηνήνατο παρακληθῆ αι ἡ ψυχή μου, τὴν τῶν χρηστῶν μου συλλειτουργῶν περὶ ἐμοῦ μαθὼν κρίσιν, ὅτι, εἰ ὅλως ἀνοῖξαι τὸ στόμα βουληθῶ καὶ φθέγξασθαι πρὸ τοῦ μὴ δι' ἐγγραφῆς βεβαιώσασθαι τὰ τοῦ δεῖνος τηρεῖν, κἂν ὡς ἐναντία τῶν πατέρων καὶ τῶν κανόνων εἰσὶ καὶ παρὰ τοὺς θείους τυγχάνη θεσμούς, ἐκκήρυκτόν με εἶναι καὶ καθαιρέσει ὑποβληθῆναι παμψηφεί με εἵλοντό τε καὶ ἀπεφήναντο, ἀλλ' ὅμως ἐμνήσθην ὑμῶν μετὰ τοῦ θεοῦ καὶ εὐφράνθην καί, τοῖς πανσόφοις ὑμῶν καὶ μελισταγέσι λόγοις ψυχαγωγηθείς, τῆς ἀθυμίας τὸ νέφος ἀπεκρουσάμην καὶ κατὰ τὴν τῆς φιλίας ἱερὰν συμβουλὴν καὶ παραίνεσιν τὰ προσπεσόντα μοι δι' ἀγάπης ἔγνων οἰκονομήσασθαι. Ἐπεὶ γὰρ οἱ μὲν ἱερεῖς πάντες ὁμοῦ ἠχρειώθησαν καὶ εἰς τοῦτο συνωλίσθησαν καὶ συνέπεσον, οὐκ' ἔστι δὲ πρὸς ὅν τινά τις ἐκκαλέσεται, οὐκ ὄντος τοῦ ἐκζητοῦντος, οὐκ ὄντος τοῦ κρῖμα δίκαιον κρίνοντος, ἀνάγκη τοῖς ὡς ἐκ τυραννίδος ἐπιτάγμασι τοῦ παρὰ τῷ Ἀποστόλῳ χαλκέως, ὃν καὶ Σατὰν ἐκάλεσε ἄγγελον, καὶ ἄκοντας ὑποσκελίζεσθαι. Τί γὰρ ἂν τις καὶ πράξοι, οὕτω μακρυνθείσης τῆς παροικίας ἡμῶν καὶ τῆς μετὰ τῶν σκηνούντων Κηδὰρ συνοικήσεως; Ἐγὼ γὰρ τῆς μὲν ἐπισκοπῆς οὔτε πρότερον ἤρων, ὡς οἶδεν ὁ τὰ κρυπτὰ συνειδώς, οὔτε νῦν περιέχομαι, ἀλλὰ τὸ ἕνεκα τῶν τοιούτων

1. θήσει 2. ἐγχειρίσει 3. μέλλει 4. ἀπαρχῆς 5. ὁδοῖς αὐτῷ.

δ´. Περιλαμβάνεται ἐν φ. 58β—59β τοῦ Βιενναίου κώδικος **Phil. gr.** 342.

8. Ἡ ὀνομαστικὴ ἀπόλυτος μαθὼν ἐγράφη πάντως ὑπ' αὐτοῦ τοῦ Θεοδώρου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ζιζανίων, ἃ τῷ ἐκκλησιαστικῷ σίτῳ ἀεὶ παραβλαστάνειν εἴωθε, τοῦ μέσου ἑαυτὸν ὑπεξαγαγεῖν δίχα τοῦ ὠφέλειάν τινα τῷ κοινῷ συνεισενεγκεῖν καὶ τῶν μὴ καλῶν τι παρενεγκεῖν οὐκ ἔδοξεν εἶναι ἀνδρὸς οἰκονομοῦντος ἐν κρίσει τοὺς λόγους αὐτοῦ καὶ κἂν πρὸς ἑτέρων ἴσως ἀποτροπὴν τηροῦντος αὐτόν. Ὅθεν, ὡς ἠδυνάμην ἐπὶ μικρᾶς γαλήνης τὸ βραχύ μου προσορμίσας ἀκάτιον ἐκτὸς θορύβων καὶ ταραχῆς ἐνταῦθα, κατὰ τὴν παροιμίαν παρελκῦσαι τὸν ὀλίγον τοῦτον καιρὸν ἔκρινα δεῖν. Εὔχομαι δὲ καὶ ἐλπίζω αὖθις ὡς ἐπιθυμῶ ἐποφθῆναι ὑμῖν, τῶν νεφῶν περιαιρεθέντων καὶ τῶν σκιῶν καὶ τοῦ ἡλίου ἐκλάμψαντος καὶ καθαρῶς φρυκτωροῦντος τὴν αἴσθησιν καὶ τὴν σύμπασαν γῆν. Καὶ γένοιτό μοι οὕτως, ἀλλὰ καὶ θᾶττον, Κύρ ε, τοῦ ἐλέους καὶ τῶν σῶν οἰκτιρμῶν θεὲ καὶ τῶν σῶν κτισμάτων κηδεμὼν καὶ προνοητὰ ἐξαιρέτου τοῦ ἄλλου σοι κτήματος.

ε΄.

**Τῷ βασιλεῖ**

Τῆς ἀχθοφόρου δουλείας, ποθούμενε δέσποτα, ἤδη ποτὲ ἀπαλλάξαι βουληθείς, τὸ ὑδροφόρον ὀνάριον βραχύ τι δοχεῖον ὕδατος ἐντὸς τοῦ οἰκιδίου μου κατεσκεύασα. Δέομαι οὖν Μωϋσέως, ἵνα ῥήξῃ πέτραν καὶ πηγάσῃ ὕδωρ, ὃ δύναται ποτίζειν οὐχὶ μυριάδας πολλάς, ἀλλ' οἰκίαν μικράν, μᾶλλον δὲ ταύτης ἕνα ἐμέ. Γενοῦ οὖν μοι σὺ οὗτος, φίλτατε, καὶ ἐπίτρεψον τῷ κόμητι τῶν ὑδάτων παρασχεῖν μοι ὕδωρ χειμέριον, τὴν θερινήν μου δίψαν παραμυθούμενον. Τὸ δὲ θαρρεῖν αἰτεῖν τὰ ὑπὲρ ἐμὲ οὐ θρασύτης ἐμή, ἀλλὰ φιλανθρωπία καθέστηκε σή, φιλανθρωπότατε βασιλεῦ. Εἰ δὲ ἐφ' οἷς ἐδεήθην σου βούλῃ συναντιλαμβάνεσθαι εἰς τὸ διοικηθῆναι τὴν πένητά μου ἀδελφιδῆν, ἰδοὺ εὑρέθη ἀφορμὴ ὁ τοῦ σήμερον ἀποιχομένου βαθμός, ὃν εἰ δώῃς ἡμῖν, ἐπ' αὐτῷ ποιησόμεθα τὸ συνάλλαγμα. Εἰ δὲ πλέον τοῦ δέοντος ᾔτησα, σύγγνωθί μοι ποθούμενε δέσποτα, καὶ ὑπὸ τῆς φύσεως καὶ ὑπὸ τοῦ θείου Ἀποστόλου τῶν ἰδίων προΐστασθαι προ-

4. αὐτοῦ 5. αὐτὸν 7. παρελκύσαι.

ε΄. Περιλαμβάνεται ἐν φ. 59β—60α τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

19. κόμητι. Γραπτέον κόμιτι; 23. βούλει

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ...
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τρεπομένῳ καὶ διὰ τοῦτο πρὸς συμπαθῆ καὶ φιλάνθρωπον δεσπότην αἰτῆσαι θαρρήσαντι.

ϛʹ.

Τῷ αὐτῷ

Τὸ μὲν μέγεθος τῶν πολλῶν σου καὶ ἀπείρων εὐεργεσιῶν, φιλάγαθε δέσποτα, δεσμεῖ μου τὴν γλῶτταν, ἐμφράττει τὸ στόμα, ἀναγκάζει σιγᾶν, ἡ δὲ μεγάλη καὶ ἀγαθὴ καὶ θεομίμητός σου προαίρεσις τοὺς περὶ ἐμὲ ἐφιστῶσά μου, ἀξιοῦντος πάντα ἐμὲ δύνασθαι, τῇ φιλανθρώπῳ ἀγαθότητί σου, ἀναγκάζει μετὰ τοῦ εἰρηκότος εἰπεῖν Μή τι, Κύριε, ἐὰν ἅπαξ λαλήσω· ἐγὼ δὲ εἰμι γῆ καὶ σποδός. Ὅθεν ὡς ἐκ τοῦ θείου χρησμοῦ ἐπιτραπέντος μοι τοῦ καὶ ἔτι θαρρεῖν, δέομαι, εἰ μὴ πάνυ ἐπικαιρὴς δοκεῖ μου ἡ αἴτησις, τὸν νέον μου τοῦτον γαμβρὸν πρὸ τοῦ γαμικοῦ στεφάνου ἐκ τῆς τιμίας χειρός σου εἰς τὴν ῥωμαϊκὴν αὐτὸν κατατάττοντα σύγκλητον δέξασθαι, ἵνα, πρωτοσπαθάριος γνωρισθείς, οὕτω τὰς γαμηλίους λαμπάδας μετ' εὐφροσύνης ἀνάψειε, τὸν τῆς οὐρανίου βασιλείας διὰ πάντα μετὰ πάντων καὶ οὗτός σοι στέφανον προξενῶν.

ζʹ.

Τῷ Μαλεΐνῳ

ὡς ἀπὸ τοῦ βασιλέως Ῥωμανοῦ.

Νῦν ἔγνων, πάτερ σεβασμιώτατε, ὅτι ὄντως ἐν χειρὶ θεοῦ τὰ ἡμέτερα καὶ ὁ τῆς εὐμενείας αὐτοῦ φρουρεῖ ἡμᾶς ὀφθαλμός, ὅτε διὰ τῆς σοφωτάτης ὑμῶν ἐπιστολῆς εἶδον τὴν περὶ ἐμὲ σου στοργὴν καὶ διάθεσιν καὶ κατενόησα ὅπως σοι μέλει περὶ ἐμοῦ καὶ ὅπως κήδῃ καὶ φροντίζεις τῆς σωτηρίας μου ὁ οὕτω πλησιάζων θεῷ, ὅτι ἃ πολὺ πρότερον σεαυτῷ παρῄνεσας καὶ ἃ ποιεῖν ἐκ νεότητος προέθου καὶ ἐμε-

1. (καὶ κατωτέρω πανταχοῦ) διατοῦτο

ϛʹ. Περιλαμβάνεται ἐν φ. 60α—60β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

10. ἐπικαιρὴς διορθωτέον 11. τὸν ἐκ 14. ἀνάψειεν

ζʹ. Περιλαμβάνεται ἐν φ. 61α—63α

17. ότε 19. μέλλει

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λέτησας, ταῦτα καὶ ἐμοὶ τῷ σῷ πνευματικῷ τέκνῳ ὡς κατὰ πάντα πατρὶ ποιεῖν εἰσηγῇ καὶ τὴν αὐτὴν ὁδὸν βαδίζειν με ἀξιοῖς· τοῦτο γὰρ τοῦ ἀληθῶς εὔνου συμβούλου λέγουσιν οἱ σοφοί, ὅτ' ἂν ἅ τις ἑαυτῷ συνεβούλευσε πρότερον, ταῦτα καὶ τοῖς ὑπ' αὐτοῦ φιλουμένοις συμβουλεύῃ καὶ παραινῇ. Πλὴν ἐγὼ τὸ μέχρι τοῦ νῦν ἑτέραν ὁδὸν ἡγούμην τὴν βασιλικὴν καὶ ἄλλως ὑπὸ τοῦ διδασκάλου ἐπαιδευόμην καὶ δι' ἄλλων ἐπιτηδευμάτων πρὸς τὸ προκείμενον τέλος ἀπηυθυνόμην. Ἔλεγε γὰρ ἐκεῖνος διαφορὰν εἶναι βίου πολιτικοῦ καὶ ἀσκητικοῦ καὶ ὥσπερ στρατιωτικοῦ καὶ γεωργικοῦ πλωτικοῦ καὶ χερσαίου, πρακτικοῦ καὶ θεωρητικοῦ, ἄρχοντός τε καὶ ἰδιώτου καὶ ἁρμόζειν τῷ μὲν ἀναχωρητῇ τε καὶ ἀσκητῇ ταῦτα, ἃ νῦν αὐτὸς ὑπέθου ἐμοί, τουτέστι τὴν ἀέναον προσευχήν, τὴν κατάνυξιν, τὸ πένθος τὴν ἀκτημοσύνην καὶ τἄλλα τὰ ἐφεξῆς, τῷ δὲ πολιτικῷ δικαιογραφίαν, κρίσιν ὀρθήν, γνώμην ἀπροσωπόληπτον, φρόνημα εὐσταθὲς ἀνδρείαν πρὸς τοὺς ἐχθρούς, πρὸς τοὺς ὑπὸ χεῖρα εὐμένειαν πλοῦτον ἀπὸ λαφύρων, μετάδοσιν πρὸς τοὺς στρατιώτας καὶ πένητας. Τὸν ἐξ ἀδίκων γὰρ πλοῦτον ἔλεγεν εἶναι κακὸν βασιλεῖ, τὸν δὲ ἀπὸ δικαίω προσόδων καὶ λαφύρων μᾶλλον ἁρμόζοντα καὶ προσήκοντα, μάλιστα ὅτ' ἂν μὴ ἑαυτῷ μέλλῃ μόνῳ τοῦτον ὁ κρατῶν θησαυροφυλακεῖν, ἀλλὰ προχέειν δεόντως εἰς ἐπικούρους καὶ στρατιώτας καὶ εἰς τοὺς ἀξίους ἅπαντας οἰκτιρμῶν καὶ εἰς αὐτοὺς τοὺς ὡς ὑμεῖς ζῶντας κατὰ θεόν. Χρήζουσιν γάρ, οἶμαι, καὶ οἱ τοιοῦτοι οὐ τὰ πρὸς τρυφὴν πάντως, ἀλλὰ τὰ ἀναγκαῖα πρὸς τὴν ζωήν, καὶ πολλοὺς οἶδα τῶν ἐπαγγειλαμένων μετὰ τὴν ἐκ τοῦ βίου ὑπαναχώρησιν αὖθις καλινδουμένους καὶ χρόνους πολλοὺς ἐν ταῖς πόλεσιν διατρίβοντας πρὸς τὸ τὰ ἀναγκαῖα πορίσασθαι. Ἐπιστρέφει γάρ, οἶδα, καὶ ὑμᾶς τοὺς οὐρανοβάμονας τὸ γεῶδες τοῦτο βρῖθος πρὸς τὴν γῆν καὶ τὰ ἀπὸ τῆς γῆς, καὶ διὰ τοῦτο ὑμῖν καὶ ἡμιόνους φασὶ τρέφεσθαι πίονας καὶ συχνοὺς τοὺς ἀχθοφορεῖν διακομίζοντας ὑμῖν τὴν δρόσον. ᾗ μόνῃ χορτάζεσθαι λέγουσιν τοὺς μακαρίους ὑμᾶς, προσεῖναι δὲ καὶ σιτοπόνους εὐφυεῖς καὶ μαγείρους ἀγαθούς, οἳ τὸ τραχὺ καὶ φαῦλον τῶν ἐδεσμάτων ὑμῶν παραμυθοῦνται. Ὁ δὲ λέγων μὴ σπεύδειν ἐμὲ ἐπὶ τῇ μαχαίρᾳ μου εὐλογηθῆναι, θαυμάζω πῶς ὑπερεῖδες τοὺς ἐγγυτάτω σοι γένει προσήκοντας ἅπαντας ἀπὸ τῆς οἰκείας μαχαίρας σπουδάζοντας λαβεῖν

2. αὐτὴν αὐτὴν ὁδὸν 12. ἀένναον 18. μᾶλλον δὲ 27. βρίθος

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸ εὐδόκιμον καὶ ἀπὸ ταύτης κατὰ τὸν βίον προκόπτοντας, ἴσως δὲ καὶ τὰ πάντων τῶν γειτόνων ἴδια ποιεῖσθαι τιθεμένους σπουδήν. Ἐγὼ γὰρ ἐβουλόμην, εἰ ἐδυνάμην, κατὰ τὴν τοῦ ἐμοῦ διδασκάλου εἰσήγησιν ἀποκρύψασθαι κατὰ τὰς ἐν τοῖς πολέμοις ἀριστείας καὶ τὸν Μακεδόνα Ἀλέξανδρον καὶ Ῥωμαίων τοὺς Σκηπίωνας καὶ Πομπηίους καὶ Καίσαρας καὶ τὸν τῆς πατρίδος ἡμῶν Κωνσταντῖνον τὸν μέγαν καὶ εἴ τις ἄλλος κατὰ τούτους ἐγένετο, ἵνα καὶ τὰ ἄνομα ἔθνη καὶ βάρβαρα εἰς τὴν ἐπίγνωσιν εἵλκυσα τοῦ Χριστοῦ καὶ ὑπὸ ζυγὸν ἕνα τῆς νῦν εὐσεβοῦς βασιλείας ἅπαντας ἤγαγον, καὶ διὰ τοῦτο οὐδὲ πτωχότερος εἶναι πάντων, ὡς ἔφης, ἐβουλόμην τῶν ἐν τῇ βασιλείᾳ μου, ἀλλὰ μᾶλλον δύνασθαι ἐν τῷ ἀπὸ δικαίων πόρων στενοχωρεῖσθαί μου τοὺς θησαυροὺς τοὺς ἀξίους αὐθημερὸν πλουτίζειν καὶ ὥσπερ ἐκ ποταμῶν ἀενάων βρύειν τοῖς ὑπὸ χεῖρα τὰ ἀγαθὰ καὶ μηδένα εἶναι τῶν δυστυχῶν, οὗ μὴ θᾶττον ἴσχυον διαλύειν τὰς συμφοράς. Ἀλλὰ ταῦτα μὲν προήχθην εἰπεῖν διὰ τὸ δοκεῖν μὴ συμφέρεσθαι κατὰ πάντα τοὺς ἐκ τοῦ αἰῶνος τούτου σοφοὺς διδασκάλους ἡμῶν καὶ ὑμᾶς τοὺς γνησίους παραινέτας τῆς κατὰ πνεῦμα ζωῆς.

Πλὴν εὔχου περὶ ἡμῶν, πάτερ πνευματικέ, ἵνα τὸ φρόνημα τῆς σαρκὸς ἡμῶν ὑποταγῇ τῷ νόμῳ τοῦ θεοῦ καὶ δυνηθῶμεν ἀντιστῆναι πρὸς τὰς μεθοδείας τοῦ πονηροῦ καὶ κατασβέσαι τοὺς ἄνθρακας τῆς σαρκός, οὓς διὰ τῆς τρυφῆς ὁ ἀντικείμενος . . . . . . . . . ἀναφλέγει καὶ ζωπυρεῖ, καὶ ἴσως εὑρεθῶμεν κατὰ τὰς ἱερὰς εἰσηγήσεις ὑμῶν εὐάρεστοι τῷ θεῷ καὶ τοῖς ἁγίοις γονεῦσιν ἡμῶν καὶ κληρονομήσομεν μετὰ τῆς ἐπιγείου καὶ τὴν ἐπουράνιον βασιλείαν τοῦ θεοῦ.

η'.

**Τοῦ αὐτοῦ**

Ἔδει νῦν μᾶλλον ἢ πρότερον διὰ τὴν ἐν λόγοις διατριβὴν ἀφθονωτέρους τοὺς πρὸς τοὺς φίλους κτήσασθαι λόγους καὶ πυκνοτέρας ἔχειν ἀριθμεῖν τὰς πρὸς τοὺς φίλους ἐπιστολάς. Σὺ δὲ κατὰ τοὺς μικρολό-

11. στενοχωρεῖσθαι 12. θησαροὺς 13. ἀεννάων 17. ἡμᾶς 21. τροφῆς. Λέξις διεξεσμένη.

η'. Περιλαμβάνεται ἐν φ. 63α—β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΣΤ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γους τῶν ἐμπόρων οἵ, ὅτ' ἂν διάθεσιν τῶν φορτίων ἐλπίσωσι τιμιουλκοῦσιν αὐτῶν τὰ ἀγώγιμα, πάνυ φειδωλὸς περὶ τοὺς λόγους ἐφάνης, καὶ διὰ τοῦτο λίαν ὀλίγα τε καὶ μικρὰ τὰ παρὰ σοῦ γράμματα. Εἰ δὲ οὐ καλῶς εἴκασα, ἀλλ' ἔστιν ὑπεροψία φιλίας ἢ τῆς ἀποδημούσης ὄψεως λήθη ἢ τῶν ἀποκηρυχθέντων ἐκκήρυξις ἡ σιγή, στέργειν ἀνάγκη μετὰ τῶν ἄλλων καὶ τοῦτο, ἐπειδή μοι πρὸς τοὐναντίον ἐν πᾶσιν ἀπήντησεν ἡ ἐκ βίου πρὸς βίον ὥσπερ μεταβολή. Πλήν, ὅρα, ὑμῖν καλὸν περιποιεῖται τὰ τοιαῦτα τὸ ὄνομα, οὗ πολὺν ἐδόκεις λόγον ἔχειν, ἕως ἐγὼ τὸν ἐμὸν οὐκ ἠγνόουν Ἰγνάτιον.

θ'.

**Τοῦ αὐτοῦ.**

Οὔτε νόμους φιλίας ἀτιμάζων ἐγώ, οὔτε μισολόγων ἐπισκήψεσιν ἐξειργόμενος, οὔτε παλαιᾶς συνηθείας καὶ ἑταιρείας ἐπιλελησμένος ὑστέρησα περὶ τὸ χρεὼν καὶ πρὸς τὴν φιλουμένην ψυχὴν ἐσιώπησα, ἀλλ' ἐν τρικυμίᾳ καὶ σάλῳ πραγμάτων γενόμενος καὶ οἷον ἐν σκοτομήνῃ λογισμῶν θαλαττοπλοῶν, οὐκ ἔσχον ἄνεσιν τῇ ψυχῇ οὐδὲ ἀνάπαυσιν ταῖς φρεσίν, ἵνα τοῦ τῶν Μουσῶν κατατρυφήσω λειμῶνος καὶ οὕτω τοῖς ἐρασταῖς αὐτῶν καὶ τροφίμοις διὰ λόγων συγγένωμαι. Οὐ γὰρ ἐβουλόμην οὑτωσὶ πτωχικῶς τε καὶ πενιχρῶς διαλέγεσθαι τοῖς καὶ τὸν νοῦν κεκαθαρμένοις καὶ τὴν διάνοιαν καὶ μετὰ τούτων καὶ τὴν γλῶτταν ἐξωραΐζουσι, καὶ ὅσον τῶν ἐν τῇ σαρκὶ περιβλημάτων ἠτίμησαν τὸ λαμπρόν, τοσοῦτον τὴν τοῦ νοῦ καταστολὴν ποικίλως καὶ ἀνθηρῶς καλλωπίζουσιν. Ἐπεὶ δὲ τὸν δίκαιον τῆς φιλίας ἐδεξάμην ὀνειδισμόν, οὐκ ἔτι χώραν τῇ σιγῇ περιτίθεσθαι οἰηθείς, ἁπλῶς οὕτως καὶ ἀτημελῶς τὴν προσαγόρευσιν ἀντεπέθηκα, καὶ προσκυνῶ σε νοερῶς καὶ ἀσπάζομαι καὶ αἰτῶ μεταλαμβάνειν ἐκ τοῦ σοὶ μάλιστα περιόντος πλούτου τῶν προσευχῶν, ὡς ἄν, δι' αὐτῶν ἀπαλλαγεὶς τῶν παρενοχλούντων μοι ᾧ τρόπῳ εὐδοκήσοι θεός, ἐμαυτῷ τε συγγενέσθαι σχολάσω καὶ τῷ θεῷ καὶ τοῖς φίλοις μου.

1—2. τιμουλκῶσιν

θ'. Περιλαμβάνεται ἐν φ. 63β—64α τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

11. ἑταιρίας 12. χρεὸν 16. τροφήμοις

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ι'.

**Τοῦ αὐτοῦ.**

Εἵμαρτό μοι, ὡς ἔοικεν, ἀδελφέ, ἐν τοῖς ἐλάττοσι βαθμοῖς διατρίβουσι καὶ ἀγαπᾶσθαι καὶ στέργεσθαι καὶ φίλων ἀπολαύειν σοφῶν, ἐν δὲ τῷ δοκοῦντι τοῖς πολλοῖς τούτῳ μείζονι μισεῖσθαι καὶ παρορᾶσθαι καὶ μηδὲ βραχείας γραφῆς ἀξιοῦσθαι παρὰ τῶν φίλων μου. Εἰ μὲν γὰρ ἐν γαλήνῃ καὶ εὐθυμίᾳ τὰ ἐμὰ καὶ καταθυμίως ἦλθέ μοι τὰ γενόμενα, ἐμὲ πάντως ἔδει κατάρχειν καὶ τῶν πρὸς τοὺς φίλους γραμμάτων. Εἰ δὲ νόμος οὗτος κοινὸς τῆς φύσεως τοὺς ἔξω τῆς ζάλης καὶ τῶν τρικυμιῶν τυγχάνοντας παραμυθεῖσθαι καὶ προσφθέγγεσθαι τοὺς ἐν τῷ πελάγει θαλαττοπλοοῦντας τῶν πειρασμῶν, εἰ μηδὲ εἷς τούτων ἐγὼ νῦν, τίς ὑμῖν ἀπολογία εὐπρόσωπος τῆς σιγῆς ; Εἰ δὲ τοῦτο μὲν οὔ σοι δοκεῖ ἀληθές, οἴει δὲ ἐν πλείονι ταράχῳ τυγχάνειν τὰ καθ' ἡμᾶς διὰ τὸ ἐν τῷ ἀσταθμήτῳ τῆς τύχης ἔτι νῦν μᾶλλον ἢ πρότερον περιδινεῖσθαί σε, ἰδοὺ προσδέχου τὴν φιλικὴν προσαγόρευσιν καὶ παράκλησιν, καὶ τὴν ἔτι καὶ νῦν ἀπόθου σιγήν, καὶ δήλου ἡμῖν καὶ τὰ περὶ ὑμῶν καὶ τῶν ἡμετέρων, καὶ πειρῶ τὸ ἄχθος ἀποκουφίζειν τοῖς τῆς σοφίας σου καὶ φρονήσεως ῥήμασιν, ὡς ἐγὼ νῦν πρῶτον ἔμαθον ἀληθῶς τὸ ἐμαυτοῦ φιλόψυχον ἢ μικρόψυχον καὶ πρὸς τὰς περιστάσεις εὐτάρακτον καὶ πρὸς τοὺς πειρασμοὺς εὐταπείνωτον.

ια'

**Τοῦ αὐτοῦ**

Οὐκ ἔδει καὶ σὲ τὸν καὶ φρονήσει διαφέροντα καὶ σοφίᾳ τὸ τῶν πολλῶν πάσχειν, οἳ προσμένουσι τὴν ἀπὸ τῶν φίλων φωνήν, ἵνα πρὸς αὐτὴν ἀντιφθέγξωνται. 'Αλλ' ἐπεὶ παρ' ἐμοὶ ἴσα τῆς ἐμῆς ψυχῆς τετίμησαι, ᾔδεις δὲ ἐν σάλῳ καὶ τρικυμίᾳ τὰ κατ' ἐμέ, τῶν ἔσω-

ι'. Περιλαμβάνεται ἐν φ. 64α—65α τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

1. Εἵμαρτο .3. μιμεῖσθαι

ια'. Περιλαμβάνεται ἐν φ. 65α—β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

θεν ἐπιβουλευόντων, τῶν ἔξωθεν ἐπιτιθεμένων καὶ πάντων λυπούντων, προφθάνειν ἀεὶ καὶ παρηγορεῖσθαι κἂν ῥήμασιν, εἰ μὴ πράγμασι, δυνατόν. Ἀλλ' ἐπεὶ μὴ σὺ τοῦτο πεποίηκας, κάτωθεν ὥσπερ ἐκ τῆς δίνης ἐγὼ καὶ τῶν ἐπαφριζόντων κυμάτων ἀνανηξάμενος, δύσηχον οὕτω καὶ ἄμουσον ἀποφθέγξομαι, καὶ προσφωνῶ σε τὸν ἐμοὶ ποθεινότατον καὶ ὀνειδίζω, ὅτι μοι καὶ σὺ μετὰ τῶν ἄλλων γέγονας. Τοῦ καιροῦ καὶ τὸν τόπον μετηλλαχότος ἐμοῦ, αὐτοὶ τὸν τρόπον ἠλλάξατε, καὶ οὐδὲ ὑπὸ τοῦ κοινοῦ πάθους τῆς φύσεως, ὃ πᾶσι σχεδὸν πρόσεστι, τοὺς ἐν πελάγει χειμαζομένους ἐποικτείρειν, καὶ χεῖρα προτείνειν, προθυμεῖσθε αὐτοῖς, οὐδ' ὑπὸ τούτου παρακαλούμενοι συμπαθέστεροί μου γεγόνατε. Ἀλλὰ τί ἂν καὶ πράξειέ τις, ἁμαρτημάτων ποινὰς εἰσπραττόμενος; Πλὴν καὶ θεὸς διὰ φιλανθρωπίαν καὶ φιλίαν τὴν πρὸς ἀλλήλους ἀπαιτεῖ, κἂν ὑπ' αὐτοῦ κολαζώμεθα.

ιβ'

**Τοῦ αὐτοῦ**

Εἰ καὶ οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ὡς ἄδικον τὸν ἀνεύθυνον κατεδίκασαν, ἀλλ' ἐγὼ τῆς πρὸς αὐτοὺς εὐνοίας οὐδέποτε ἑκὼν ἐκστήσομαι, ἀλλὰ καὶ ὡς ἀδελφοὺς τιμήσω καὶ ὡς φίλους ἀγαπήσω καὶ ὡς πατέρας ἀεὶ αἰδεσθήσομαι. Ὃν δὴ πρῶτον καὶ κορυφαῖον περιτίθεμαι καὶ προσαγορεύω φιλικῶς καὶ ἀσπάζομαι καὶ μεμνῆσθαί μου ἀξιῶ, ἐπεὶ καὶ ἐγὼ διηνεκῶς ὑμᾶς τῇ διανοίᾳ ἐνοπτρίζομαι καί οὐδὲν τῆς προτέρας ἠλάττωσα διαθέσεως.

ιγ'

**Τοῦ αὐτοῦ.**

Ἤκουσα, ποθεινότατε ἀδελφέ, τὴν τῆς θείας ὡς ἀληθῶς θείων

4. ἀνανηξάμενος 10. αὐτοῖς. Γραπτέον αὐτοί; 11. μου.

ιβ'. Περιλαμβάνεται ἐν φ. 65β—66α τοῦ Βιενναίου κώδικος Phil. gr 342.

14. ἐξεναντίας

ιγ'. Περιλαμβάνεται ἐν φ. 66α—67α τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μετάστασιν καὶ τὸ σὸν ἀπαραμύθητον ἐπ' αὐτῇ πένθος, καὶ διὰ τοῦτο προήχθην διὰ γραμμάτων ἀποπληρῶσαι τὸ τῆς φιλίας εἰκὸς καὶ διαλεχθῆναί σοι, ὅτι οὔτε πρῶτοι οὔτε μόνοι τοιαύτῃ περιεπέσαμεν συμφορᾷ, οὔτε ἀγύμναστοι τῶν τοιούτων ἐσμέν, ἵνα ἀνύποιστον ἐξ ἀμαθίας ἡγώμεθα τὸ συμβάν. Ἀλλ' ὁ πατήρ μου, φησί, καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προσελάβετό με. Ἤνεγκας μᾶλλον ἄωρον συγγενῶν θάνατον, ἐν οἷς καὶ ἀντιλήψεως ἐλπίδες καὶ βίου περιφάνεια καὶ κοσμικῶν πραγμάτων ἀφθονίας προσδοκίαι μεγάλαι εὐλόγως ἐξήρτηντο. Ἔνεγκαι καὶ ἁγίας ψυχῆς ἄσβεστον τὴν τῆς παρθενίας διατηρησάσης λαμπάδα, κατὰ καιρὸν ἤδη σχεδὸν μετανισταμένης ἡμῶν καὶ προσχωρούσης Θεῷ, γενναίως τὸν χωρισμόν. Εἰ καὶ γὰρ ἡμῖν ἐδόκει καλὸν τὸ σὺν ἡμῖν εἶναι ἔτι αὐτήν, ἀλλ' ἐκείνῃ κρεῖττον τὸ εἶναι σὺν τῷ Χριστῷ τῷ καθαρῷ νυμφίῳ τῶν καθαρῶν καὶ ἀμιάντων ψυχῶν. Οὔκουν λυπεῖσθαι χρή, ὅτι μὴ μεθ' ἡμῶν ἔτι μένει, ἀλλὰ χαίρειν, ὅτι ἔστιν ἤδη σὺν τῷ Χριστῷ καὶ ἡμῶν οὐκ ἀπέστη πνευματικῶς. Ταῦτα γάρ με πείθει καὶ νοεῖν καὶ λαλεῖν ἡ μεγάλη αὐτῆς ἀρετὴ καὶ ἡ διὰ βίου ἄσκησις καὶ τὸ ἐν νηστείαις καὶ προσευχαῖς καὶ ὕμνοις πνευματικοῖς ἀνένδοτον καὶ διηνεκές. Εὐθύμει οὖν, ἀδελφέ, καὶ μακροθύμως φέρε καὶ εὐχαρίστει Θεῷ τῷ κατὰ τὴν ἄρρητον αὐτοῦ σοφίαν καὶ βούλησιν σοφῶς καὶ ὑπὲρ τὸν ἡμέτερον νοῦν οἰκονομοῦντι τὰ καθ' ἡμᾶς, μηδὲ ἐκ τοῦ πλέον ἢ δεῖ τὸ συμβὰν ἀποδύρεσθαι καὶ ἑαυτοὺς τὰ μέγιστα βλάπτωμεν καὶ τὸν ποιήσαντα παροξύνωμεν, μὴ ἀποδεχόμενοι τὴν περὶ ἡμᾶς οἰκονομίαν αὐτοῦ. Ἔστω ἡμῖν ἱκανὸν παραμύθιον ἡ αὐτῆς ἀρετή, δι' ἣν οἰόμενοι πάλιν ὄψεσθαι αὐτὴν μὴ ἀθυμῶμεν, ἀλλὰ τὰ φίλα αὐτῇ καὶ Θεῷ ἐργαζώμεθα. Ἤδειμεν γάρ, ὅτι θνητοὶ ὄντες θνητοὺς καὶ συγγενεῖς ἔχομεν, εἰ δὲ μὴ ᾔδειμεν, ἀλλ' ἐδίδαξεν ἡμᾶς ὁ μακρὸς χρόνος καὶ ἐλπίζειν τὰ τοιαῦτα καὶ καταδέχεσθαι. Ὥσπερ οὖν ἀδύνατον ἐπὶ τῶν τοιούτων, ἀλλὰ καὶ ἄστοργον τὸ πάντη ἀπαθές, οὕτω καὶ τὸ λίαν παθαίνεσθαι ὡς ἀγεννὲς καὶ λίαν ἀνάξιον καὶ Χριστιανοῖς οὐ καταδεχόμενον. Διὸ ὡς ἐκ θεοῦ τοῦ μηδενὸς αἰτίου κακοῦ δεξώμεθα τὸ γεγονός, καὶ εὐχαριστοῦντες αὐτῷ εἴπωμεν, ὅτι ὡς ἐκέλευσας γέγονεν. Εἴη τὸ ὄνομά σου εὐλογημένον εἰς τοὺς αἰῶνας.

6. ἔνεγκε. 33. ὄνομα

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ιδ΄.

**Τοῦ αὐτοῦ**

Ἐὰν ἤδη σοι κατὰ τὸν ὁμηρικὸν Ὀδυσσέα ἡ ὑπὲρ τοῦ ἐξιλασμοῦ πρεσβεία διήνυσται, καί σου τῶν προσεχῶν ἔκλινεν ὁ τῶν ὅλων ἶφι ἀνάσσων θεὸς καὶ τὸ τῆς ἐπανόδου ἐνδόσιμον παρὰ τοῦ τὴν καρδίαν ἐλάφου Ἀγαμέμνονος, μνῆσαι φίλων ἑτάρων καί, τῶν ὀρέων ὑπερκαταβάς, προςγειότερον φάνηθι. Ἤδη γὰρ ἡμῖν δεκάτη ἐστὶν ἡμέρα προςδεχομένοις σε. Εἰ δὲ τὸ τῆς ἀφέσεως γραμμματεῖον ὥςπερ παρὰ τοῦ στρατηγοῦ τοῖς στρατιωτικοῖς οὐκ' ἐπέμφθη σοι, ἐπεὶ οὔπω ἡμῖν ἡ Πλάτωνος ἀρετὴ τὸ αὐτοδέσποτον περιεποιήσατο, ἀλλ' ἔτι στρατευόμεθα Καίσαρι τῶν κάτω συρομένων καὶ τῆς τοῦ Φαραὼ δουλείας οὐκ ἠλευθερώμεθα, μένε, ὦ μακάριε, ἀτρέμας τῇ ψυχῇ ὡ· ἐν Ὀλύμπῳ, καὶ ἡμεῖς προςμένομεν ἡμέραν ἐξ ἡμέρας, εἰ τύχοι δὲ καὶ μῆνα ἐκ μηνός, ἕως τὸ ἡμέτερον ἀγαλλίαμα καὶ παραμύθιον θεασώμεθα. Εἰ δὲ μετὰ προσθήκης τοῦ συνόντος σοι ἡμῖν ἐποφθῇς, μείζων ἡ χάρις, μόνον εἰ δυνηθείη δελφῖνα λεκάνη χωρεῖν.

ιε΄.

**Τοῦ αὐτοῦ**

Ξενοφῶν φησιν ὁ σοφός, ὡς, ὅτε πρῶτον ὁ Κῦρος τῶν ἡλίκων καὶ συνήθων διίστατο μετὰ μικρὸν τοὺς μὲν ἀπελθεῖν τοὺς δὲ προςελθεῖν, ἕνα τινὰ διώκοντα τῶν φιλούντων ὀπίσω πυκνὰ κατασπάζεσθαι, λέγοντα ὡς λίαν αὐτοῦ σχοίη περικαῶς ἐν τοσούτῳ χρόνῳ, ὃν πολὺν εἶναι· τοῖς φιλοῦσιν αὐτὸς ἐπετίθετο. Ἀλλὰ καὶ ὁ παλαιὸς λόγος ἡμέραν μίαν βίον ὅλον φησὶ τοῖς πόθῳ κάμνουσιν. Εἰ οὖν οὕτω ταῦτα, πόσους αἰῶνας ἡμᾶς καὶ βίους λογίζεσθαι χρὴ τὸν χρόνον τῆς ὑμετέρας ἀφ' ὑμῶν διαστάσεως; Διὸ δὴ τὸν διάκονον ἔπεμψα τὰ περὶ σοῦ ἱστορήσοντα καὶ ἀπαγγελοῦντά μοι. Οὐ γὰρ ὑπέμενον ἐπὶ πλέον τὰ σὰ ἀγνοεῖν ἔτι. Εἴη δὲ τὰ δι' εὐχῆς μοι ἐπιζητούμενα περὶ ὑμῶν ἀκούειν καὶ εὐθυμεῖν.

ιδ΄. Περιλαμβάνεται ἐν φ. 67α—β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

3. Λείπει τι; 6. προςδεχόμενοί. 13. θεασόμεθα

ιε΄. Περιλαμβάνεται ἐν φ. 67β—68α τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ιϛ'.

**Τοῦ αὐτοῦ**

Εἰ καὶ μὴ ἐξεγένετο συντάξασθαί σου κατὰ τὴν ἔξοδον, ἀδελφέ, ἀλλὰ καὶ ἐζήτησα καὶ διερευνησάμην· ἀλλ' ἀπέτυχον μὴ εὑρών. Ὅμως, ἐπεὶ οὐ σωματικοὺς μόνον ἔχομεν ὀφθαλμούς, ἀλλὰ καὶ νοερούς, καὶ εἴδομέν σε καὶ περιεπτυξάμεθα. Οὐ μόνον δέ, ἀλλὰ καὶ μεθ' ἑαυτῶν περιφέρομεν, τοῖς χρώμασι τῆς φιλίας ἀπογραψάμενοί σου τὴν εἰκόνα ἐν τῇ ψυχῇ καὶ ἔξεστιν ἡμῖν συνεχῶς σε βλέπειν καὶ ὁμιλεῖν καὶ ἀσπάζεσθαι, αὐτῆς τῆς ψυχῆς αὐτὴν περιπτυσσομένης σου τὴν ψυχήν. Εἰ δὲ πρὸς τὴν ἐκκλησίαν σου βουληθῇς ἐξελθεῖν, καὶ θελήσεις ἐπ' ὀλίγον ἐκνεῦσαι τῆς ὁδοῦ καὶ δοῦναι σεαυτὸν ἡμῖν πρὸς βραχύ, τὰ μέγιστα ἡμῖν ἔσῃ κεχαρισμένος καὶ τῆς ἀληθοῦς φιλίας ἐπάξια.

ιζ'.

**Τοῦ αὐτοῦ εἰς τὸν βασιλέα.**

Εἰ καὶ πάντων κατὰ τὸν εἰπόντα κόρος ἐστίν, καὶ ὕπνου καὶ φιλότητος, ἀλλ' ἐμοὶ τῆς πρὸς σὲ ὁμιλίας, γλυκύτατε δέσποτα, καὶ ποθούμενε, οὐδέποτε κόρος ἐστίν. Διὸ καὶ πάλιν, τούτοις τοῖς εὐώνοις τοῦ Ὀλύμπου ξενίοις χρησάμενος ἀφορμῇ προσαγορεύω καὶ προσκυνῶ καὶ ἀσπάζομαι τὴν τριπόθητόν μου ἐκ θεοῦ ἐστεμμένην κεφαλὴν καὶ ψυχήν, ἐπεὶ μηδὲ ἐλπίζω ἔτι τό γε νῦν ἔχον ἀπὸ τοῦ Ὀλύμπου προσομιλῆσαί σοι. Βούλομαι γάρ, θεοῦ μου τὴν ὁδὸν κατευθύνοντος, ἀπὸ τῆς ιζ' τοῦ ἐνεστῶτος μηνὸς μεσωρὶ τοῦ ὄρους ὑπερκαταβάς, εἰ καὶ μὴ ἔστι μοι ἵππος ἰδεῖν τε καὶ βαδίζειν ἀγαθός, ἀλλ' ὅμως τῷ τῆς πένητος ἔτι παλαιᾶς φιλίας χρησάμενος πρὸς τὴν πατρίδα μου κατελθεῖν κἀκεῖθεν ἀποπλεῦσαι πρὸς τὴν λαχοῦσάν μοι παροικίαν μου, τὸν στενὸν καὶ πένητά μου λαόν, ταῖς μεγάλαις

ιϛ'. Περιλαμβάνεται ἐν φ. 68α—β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

7. **περιπτυσσομένην**

ιζ'. Περιλαμβάνεται ἐν φ. 68β- 69α τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

17. ἔστι 18. τὸ τῆς πένητος ἔχει ὀρθῶς;



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εὐεργεσίαις τῆς θεοφιλοῦς βασιλείας σου χαροποιήσων καὶ παραμυθησόμενος.

Εἴη Κύριος ὁ θεὸς φυλάττων σοὺ τὴν ζωὴν εἰς μῆκος χρόνων πολλῶν εἰρηναίαν καὶ ἀστασίαστον, διδοὺς σοι μετα τὸν τῆς βασιλείας καὶ τὸν τῆς εὐσεβείας καὶ δικαιοσύνης καὶ φρονήσεως στέφανον εἰς κοινὴν τοῦ ὑπηκόου ὠφέλειαν καὶ καύχημα τῶν φιλούντων σε.

ιη΄.

Τοῦ αὐτοῦ

Εἴ σοι καθαρὸν νόσων ἐστὶ τὸ ζῆν, τί οὐκ ἐπιστέλλεις καὶ διδάσκεις ἡμᾶς τὰ περὶ σέ, προσφιλέστατε ἀδελφέ; Ἡμῖν μὲν γὰρ καὶ αἱ ἀναγκαίως ὑπολαμβάνουσαι μέριμναι καὶ αἱ κατ' ἐπήρειαν ἐπιτιθέμεναι νόσοι εὔλογον εἰς τὸ μὴ συνεχῶς γράφειν παρέχουσιν ἀφορμήν. Ὑμῖν δὲ οὐχ ἡ αὐτὴ πολλάκις ἔσται ἀπολογία. Γράφε οὖν καὶ δήλου ἐν οἷς εἶ καὶ εἴ τινός σοι χρεία ἐστίν, ἵν' ἐπικουρῶμεν ἐν οἷς ἡμῖν δυνατόν. Αἱ δὲ πικραὶ τῶν ἐλαιῶν καὶ αἱ στύφουσαι τῶν ῥοῶν μετὰ τοῦ καμψάκου τούτου τοῦ ἐλαίου ὡς ἐκ γλυκείας σοι καὶ οὐ πικρᾶς προσδεχθείησαν προαιρέσεως.

ιθ΄.

Ἄλλη.

Ἐπεὶ καὶ πρεσβείᾳ φίλων καὶ μαρτυρίᾳ καλὸν πείθεσθαι, ὅτ' ἂν μηδ' ἕτερον κατὰ πάθος γινόμενον ᾖ, ἀλλ' ἐκ συνειδήσεως ἀγαθῆς καὶ φοβουμένης τὸν Κύριον, ἡκέτω νῦν ἡμῖν ὁ μαρτυρούμενος μοναχός, τῆς ἐπιζητουμένης αὐτῷ διακονίας τευξόμενος, εὐδοκοῦντος θεοῦ. Σοὶ δὲ ἔστω φροντὶς τοῦ μὴ σφαλῆναι ποιῆσαι τὸν ἐπερεισθέντα τῇ μαρτυρίᾳ σου.

4. εἰρηβαίαν

ιη΄. Περιλαμβάνεται ἐν φ. 69α—β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

10. κατεπήρειαν 14. στέφουσαι

ιθ΄. Περιλαμβάνεται ἐν φ. 69β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κ'.

## Ἄλλη.

Ἐὰν μήτε τὸ σῶμα ἡμῶν παρέμεινεν ἄνοσον μήτε ἄλυπος ἡ ψυχή, ἀλλ' ὅμως ἔτι ζῶμεν καὶ εὐχαριστοῦμεν θεῷ. Πλὴν οὐ βουλόμεθα προσθήκην τῆς εἰς ἡμᾶς ἀσθενείας καὶ τὴν παρ' ἡμῶν εἶναι σιγήν. Εἰ οὖν τι μέλει ὑμῖν τοῦ κἂν ποσῶς ῥᾴους ἡμᾶς γίνεσθαι καὶ διαχεῖσθαι μικρόν, μὴ φειδωλοὶ περὶ τὰ γράμματα γίνεσθε, ἐπεὶ μηδὲ τὰ πρὸς ἐπίδειξιν σοφίας ἀπαιτοῦμεν, ἀλλὰ πρὸς τὴν τῶν συμβαινόντων διδασκαλίαν, ἃ εἰ καὶ μὴ τυγχάνει πολλάκις χαρίεντα, ἀλλ' ὅμως τῆς παντελοῦς ἀγνοίας καὶ ἡ τῶν μὴ καθ' ἡδονὴν γνῶσις αἱρετωτέρα δοκεῖ.

κα'.

## Τοῦ αὐτοῦ.

Ὑμῖν μὲν αἱ πόλεις καὶ οἱ ἐπὶ γῆς βασιλεῖς ἡμῖν καὶ ἡ ἐρημία καὶ ὁ θεός, καὶ περὶ ὑμᾶς μὲν θόρυβος καὶ διηνεκὴς περισπασμὸς καὶ ἄπειρος λοιδορία καὶ κατὰ τοῦ πλησίον ψιθυρισμός, περὶ ἡμᾶς δὲ εἰρήνη καὶ ἀταραξία καὶ ἀκοὴ καθαρὰ καὶ γλῶσσα, τὰ ἔργα τοῦ θεοῦ μελετῶσα καὶ τὰ τῶν ἀνθρώπων μὴ λέγουσα. Εἰ οὖν τὰ παρ' ὑμῖν κρείττω, μετακαλεῖσθε καὶ ἡμᾶς πρὸς ὑμᾶς· εἰ δὲ ἀσυγκρίτως ὑπερέχει τὰ καθ' ἡμᾶς, τί μὴ πάντες οἱ φίλοι, ἀετοῦ περιβαλλόμενοι πτέρυγας, φθάσετε πρὸς τὰ ὄρη ταῦτα Σιών, ὅθεν ἥξει ὑμῖν ἡ ὄντως βοήθεια; Εἰ δὲ τὰ τῆς συνηθείας κρατεῖ, ἐν τοῖς λαχοῦσι μὲν ἑκάτεροι μείνωμεν, τῆς μνήμης δὲ καὶ τῶν εὐχῶν μὴ ἐκβάλλοιμεν. Ἡ δὲ διὰ τὸ γῆρας Ἰλιὰς τῷ ὄντι κακῶν, τοὺς ὀφθαλμοὺς μὲν λυπήσασα, τὸν δὲ νοῦν ὠφελήσασα, αὖθις ἐξαπεστάλη σοι.

κ'. Περιλαμβάνεται ἐν φ. 69β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

4. μέλλει 7. τυγχάνειν ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ᾤᾳ γράφεται τυγχά[νει] τοῦ νει κεκομμένου ὑπὸ τοῦ σταχατοῦ.

κα'. Περιλαμβάνεται ἐν φ. 70α—β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

20. κακὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κβ΄.

**Τοῦ αὐτοῦ**

Εἰ ἤδη ποτὲ τῇ διανοίᾳ ἀνετυπώσω, προσφιλέστατε, διαγωγὴν πρέπουσαν ἐλευθερίῳ τρόπῳ καὶ θεοφιλεῖ καὶ μισοῦντι μὲν κακίαν, ἀγαπῶντι δὲ ἀρετήν, ἴσθι, ὅτι τοιαύτη τίς ἐστι περὶ ἐμὲ νῦν, θορύβων ἀπηλλαγμένη, δεσποτῶν ἀπειλῆς οὐ φροντίζουσα, διηγημάτων πονηρῶν καθαρεύουσα καὶ θεαμάτων ἀτερπῶν οὐ μετέχουσα. Τίς ἂν οὖν θείη πάντας τοὺς ἀγαπωμένους μοι ἔξω μὲν τῶν δοκούντων λαμπρῶν τοῖς πολλοῖς, ἐντὸς δὲ τῆς μακαρίας ταύτης ζωῆς; Ἀλλὰ τοῦτο εὔξασθαι μὲν εὐχερές, ἰδεῖν δὲ οὐ ῥᾴδιον. Ἔρρωσθε οὖν μοι καὶ γινώσκετε, ὅτι πάντῃ σχεδὸν διαμαρτήσετε ἀγαθῶν.

κγ΄.

**Τοῦ αὐτοῦ.**

Χαῖρέ μοι ὦ φίλος καὶ κατὰ τὴν ψυχὴν ἔρρωσο. Τοῦτο γάρ σε διὰ μακροῦ προσφθεγγόμεθα χρόνου, τοῦ κοσμικοῦ τροχοῦ μηδὲ μέχρι τοῦ νῦν ἰδεῖν σε σωματικῶς ἡμῖν συγχωρήσαντος Πλὴν δι' ἣν εἴπομεν αἰτίαν οὐ μέμψῃ τὴν ἡμῶν μετριότητα, τοῦ κατὰ ψυχὴν ἀγαπῶντος οὐ προστετηκότος τοῖς σώμασιν· εἰ δὲ καὶ μέμψῃ, δώσομέν τι, καὶ τῇ φιλίᾳ τοῦτο μικρόν.

κδ΄.

**Τοῦ αὐτοῦ**

Οἷα πεπόνθαμεν, προσφιλέστατε ἀδελφέ, ὅτι, ἔχοντες ὑμᾶς, οὐ τοσοῦτον περιειχόμεθα καὶ ἐγινώσκομεν ὅσον ἐστὶ τὸ φιλοῦν τῆς ψυχῆς ἡμῶν, ἐπεὶ δέ, ἀμφοτέρων στερηθέντες, κατὰ μόνας γεγόναμεν,

κβ΄. Περιλαμβάνεται ἐν φ. 70β τοῦ Βιενναίου κώδικος Phil.gr. 342
6—7 λαμπρῶς

κγ΄. Περιλαμβάνεται ἐν φ. 78β—71α τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

12. ἐπεὶ ἐξωβέλισα

κδ΄. Περιλαμβάνεται ἐν φ. 72β—73α τοῦ Βιενναίου κώδικος Phil. gr. 342 (Β) καὶ πάλιν ἐν φ. 204β—205α (β).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΔΩΡΙΔΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τότε ἔγνωμεν ἀληθῶς οἷόν ἐστιν ἀλγεινὸν καὶ δάκνον σφοδρῶς τὴν ψυχὴν τῶν φίλων ὁ χωρισμός. 'Αλλ' ἐπεὶ οὕτως ἡμῶν τὴν ζωὴν οἰκονομεῖ ὁ θεός, τοῖς εὐφραίνουσιν ἀεὶ τὰ λυποῦντα μιγνύς, στέργομεν τὴν κρίσιν καὶ τὴν οἰκονομίαν δεχόμεθα καί, χάριν αὐτῷ γινώσκοντες, λέγομεν· Κατὰ τὸ δοκοῦν σοι, Κύριε, γενέσθω τὰ καθ' ἡμᾶς καὶ εἴη σου εὐλογημένον τὸ ὄνομα.

### Τοῦ αὐτοῦ.

'Ασπάζομαι τὸν φίλον καὶ συνήθη τῶν συντρόφων ἀρχόντων χορὸν δι' ἑνὸς σοῦ, κύριέ μου, ὁ μεμονωμένος ἐκ πάντων καὶ ἐπιλελησμένος ἐγώ. Οὐ γὰρ δίκαιον ἔκρινα τὸν σύμφωνον χορὸν διαστῆσαι καὶ κατακερματίσαι τοῖς γράμμασιν, ἀλλ' ὅλον δι' ὅλου τηρῆσαι, ὥσπερ ἐστὶν ἡνωμένον καὶ σύμφωνον, ἐπεὶ οὐδὲ καλὸν οἶδα πάντοθεν ἴσον καὶ ὁμοίως ἔχοντα στέφανον κάλλους διασπαράξαι τε καὶ λυμήνασθαι. Καλὸς μὲν γὰρ καὶ καθ' ἕνα τούτων ἕκαστος, ἀλλ' ἡ συνθήκη καὶ ἡ ἁρμονία καὶ τὸ φιλάλληλον εἰς αὔξησιν κάλλους καὶ εὐπρεπείας ἐστί. Προσαγορεύω δέ. 'Αλλ' ἀνάσχεσθέ μου μικρόν, εἰδὼς μὲν ὡς κἂν τούτῳ λυπήσω, διενοχλῶν τοῖς μακρὰ χαίρειν εἰποῦσιν ἡμῖν, ἐλπίζω δ' ὅμως πρὸς ὃ βούλομαι καὶ ἄκοντας ὑμᾶς ἐκκαλέσασθαι. Τοιοῦτόν ἐστιν ἡ τὸ σκῆπτρον ἔχουσα πόλις· ἐπιλήσμονας τῶν ἐκ ποδῶν φίλων ποιεῖ πολλοὺς τῶν ἀποδημούντων, ἀντιπαρεργχομένη τοὺς μένοντας. 'Αλλ' ἐγὼ χαίρω μὲν καὶ τῇ προσθήκῃ τῶν φίλων, ἀλλὰ μετὰ τοῦ μηδὲ τῶν παλαιοτέρων ἀμνημονεῖν καὶ τὸ ἀλλοπρόσαλλον ἐπ' ἐμαυτὸν ἕλκειν ἀληθὲς κατηγόρημα τῶν τὴν φιλίαν μεταγγιζόντων ἀπὸ τοῦ δεῖνος πρὸς ἕτερον, οἷς οὐδὲ ἡ ἐκ ταύτης ἡδύτης, ὡς οἶμαι, ἐγγίνεται πάντοτε, εἴπερ ἐπαινετὸς ὁ νέον οἶνον τὸν νέον φίλον ἀποφηνάμενος. Οὐ γὰρ εἶδεν οὗτος εὐφραίνειν ὡς ὁ πολλῷ χρόνῳ βασανισθεὶς καὶ διαπνέων ἡδύτητα. Ἄλλως δὲ οὐδὲ τοῖς μένουσι βέβαιος ὁ τοῖς παροῦσι μὴ βέβαιος. Ταῦτα οὐ νόμους φιλίας

4. αὐτῷ β: αὐτοῖς Β  λέγομεν Β καὶ ἐν τῷ κειμένῳ β: λέγομεν ἐκ διορθώσεως β

κε'. Περιλαμβάνεται ἐν φ. 73α—74α τοῦ Βιενναίου κώδικος Phil. gr. 342.  25. εἶδεν οὗτως

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀναιρῶν ἢ κωλύων ταύτην τοῦ πρὸς τὰ ἔμπροσθεν δρόμου· εἴη γὰρ τρέχειν αὐτὴν ἀΐδιον δίαυλον· δρόμοι γὰρ ἄν ποτε οὕτω καὶ πρὸς ἡμᾶς· ἀλλὰ τὸ στάσιμον ἐν ταύτῃ καὶ βέβαιον ἐπαινῶν, τὸ δὲ μεταχρωννύμενον τοῖς καιροῖς προβαλλόμενος. ἅμα καὶ οἷς ἐπελήσθην ἀπὸ καρδίας ὡσεὶ νεκρός τὰ ἀπὸ καρδίας πληγείσης λαλῶν καὶ αὐτός. Εἰ δὲ θυμοδακῆ μῦθον εἰπὼν ἐποτρύνω ὑμᾶς, γέγονεν ὅπερ ἠθέλησα καὶ ἀγαπῶ τῷ γενομένῳ, καὶ εἰ τραχὺς καὶ ἠκανθωμένος ἀκούσαιμι· φιλεῖ γὰρ ἡ ἀληθὴς ἀγάπη καὶ ὡς ῥόδον ποτὲ τὴν ἄκανθαν δέχεσθαι καὶ τὰ ἐκ ταύτης κνίσματα ὡς φιλήματα.

κϛ΄.

**Τοῦ αὐτοῦ.**

Ὧν ἔμελλον τῆς κατ' ὄψιν ὁμιλίας καὶ συναυλίας ἀμέσως μετὰ τῆς ἐν ἡδονῇ συνουσίας ἀπολαύειν, τούτοις, οὐκ οἶδ' ὅπως εἴπω, διὰ μεσολαβούσης προσρήσεως νῦν συνέρχομαι, οὐχ οὕτω μοι τοῦ θέλειν περικειμένου, ἀλλ' οὕτω μετὼν πραγμάτων ὡς οὐκ ὤφελε διαθέντων, ἐφ' οἷς ἄχνυμαι μέν· τί γὰρ οὐ δεῖ λέγειν τὸ ἐνὸν τῆς ψυχῆς, τοσούτων καὶ τοιούτων συνηθείας ἀπορραγείς· νικᾷ δὲ ὅμως τὰ χείρω καὶ ἅπερ οὐ βούλομαι. Εἰ γὰρ ἀσυνδύαστος ἐγώ, εἰ γὰρ μονήρης καὶ ἄφιλος; ἴσως ἂν κουφότερον διεκείμην, τοσούτων ἀποστερούμενος. Ἐπεὶ δὲ καὶ φιλάλληλος καὶ τῇ μακρᾷ συνηθείᾳ καὶ συναναστροφῇ τῶν καλῶν καὶ ἀγαθῶν πρὸς τὸ ἥμερον καὶ συναγελαστικόν, ὅλοις ἱστίοις ἀπένευσα, πῶς οἴεσθε διακεῖσθαί με μονωθέντα καὶ τοσοῦτον ἐν ταὐτῷ συναυλίας ἀποικοσθέντα. Ἔστι δέ μοι προσθήκη τῶν λυπηρῶν καὶ ἕτερα, ἡ τῶν κακῶς διαθέντων τὰ κατὰ τὴν Λαοδίκειαν συνείδησις πράγματα, οὓς ὄλεθρον ἀτεχνῶς τις εἰπὼν μικρὸν ἂν εἴποι, καὶ τοῦ ὄντος οὐκ ἀφικνούμενος. Βοηθεῖτε οὖν κοινῇ πάντες οἷς τὰ περὶ ἡμῶν μέλει· καὶ ἔτι τὸ καθ' ἡμᾶς εὐθυμεῖν, καὶ λόγοις ἀνακτᾶσθε ἡμᾶς καὶ συνεπάμυνε· κοινῶς γὰρ ὑμῶν καὶ ἐν ταὐτῷ τῇ ἱερᾷ προσφθέγγομαι συντροφίᾳ καὶ ἀδελφότητι, μὴ διιστὼς τοὺς ἡνωμένους κατὰ ψυχήν,

κϛ΄ Περιλαμβάνεται ἐν φ. 74α—75α τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

10. ξυναυλίας 12. Οὐχ' 24. ὄντως 27. προσφθέγομαι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ...
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μηδὲ κατακερματίζων τοὺς ὅλους ὄντας παρ' ἑκάστῳ ὑμῶν, ἵνα καὶ κοινῆς ἀπολαύσω καὶ πολλαπλῆς τῆς ἀντὶ μιᾶς ταύτης καὶ ἀγροικικῆς προσρήσεως, ἥν, εἰ τοῖς ἐντέχνοις ὑμῶν βασανίσετε νόμοις, οἶδα ὡς οὐδὲ ἡ περὶ ἡμᾶς ἀρκέσει διάθεσις ὑμῶν εἰς τὴν ὑπὲρ αὐτῆς δυσώπησιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

κζ'.

### Τοῦ αὐτοῦ

Οἱ μὲν ἀγαθοὶ τῶν ἀνδρῶν καὶ τοὺς μισοῦντας φιλοῦσι, τοῦτο παρὰ τῆς ἐντολῆς κελευόμενοι, οἱ δέ γε φαῦλοι καὶ καθ' ὑμᾶς καὶ τοὺς ὀρθῶς φιλοῦντας ἐκ ψυχῆς ἀποστρέφονται καὶ σχήματι μὲν προσποιοῦνται φιλεῖν, ἔργῳ δὲ πόρρω τῆς τοιαύτης εἰσὶ διαθέσεως. Καὶ λέγουσι μὲν χρηστὰ καὶ κολακεύειν ἐπιχειροῦσι καὶ ὑπεραποθνήσκειν τῶν φίλων διαβεβαιοῦνται πολλάκις, πράττουσι δὲ οὐδὲν ὧν προσήκει τοὺς ὀρθῶς φιλοῦντας ἀεὶ διαπράττεσθαι· ἴδοις δ' ἂν αὐτούς, εἴ ποτέ τι συμβῇ λυπηρόν, ἔξωθεν μὲν λυπεῖσθαι προσποιουμένους, ἔσωθεν δὲ χαίροντας καὶ ἐφηδομένους κἀὶ πλείους καὶ χείρους τῶν ἐπενεχθεισῶν αὐτοῖς θλίψεων ἐπαρωμένους προσεπελθεῖν, εἰ δὲ καί τι τῶν ἀπορρήτων τούταις θαρρῆσαι τολμήσαιεν, τοῦτο δὴ τὸ τῆς παροιμίας ἐν τριόδοις ἀκούσαις ἂν αὐτὸ κηρυττόμενον.'Εχρῆν οὖν τὸ τοῦ Προμηθέως ἐκεῖνο ἐν τοῖς ἀνθρώποις γενέσθαι, ἵν' ἐν τοῖς στήθεσι θύρας ἐκέκτηντο. Οὐ γὰρ ἄν τις οὕτως ἀπροόπτως πρὸς τοὺς φίλους τὴν φιλίαν ἐσπένδετο, ἀλλ' ἀναπετάσας τὰς πύλας καὶ τὰ τούτων βουλεύματα ἀκριβῶς θεασάμενος, εἰ μὲν ὀρθὰ καὶ πιστὰ ταῦτα ἑώρα, δεξιὰς ἂν ἐδίδου καὶ ἁλῶν ἐκοινώνει καὶ φίλους ἔκτοτε καὶ ἐνόμιζε καὶ ὠνόμαζεν, εἰ δέ γε φαῦλα καὶ ἄπιστα, ὥςπερ καὶ τὰ ὑμέτερα, ἐμίσει τε πάντως καὶ ἀπεστρέφετο. 'Επεὶ δὲ τοῦτο οὐκ ἔστιν οὐδέ τι τῶν ψυχῆς ἀπορρήτων ἀκριβῶς τις μαθεῖν ἐξεπίσταται, τί γε ὅλως καὶ διαπράξαιτο ἀπροόπτως ὥσπερ οἱ πλέοντες ταῖς ὑφάλοις προσεπιπίπτων, ὅπερ δὴ κἀμοὶ νῦν συμβέβηκεν ἐκ τοῦ τῆς ψυχῆς ἀδόλου καὶ καθαροῦ ταῖς τῶν δοκούντων φίλων ὑφάλοις προσκε-

3. βασανίσητε.

κζ'. Περιλαμβάνεται ἐν φ. 75α—76β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

22. δεξιᾶς

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κρουκότι; Ἐγὼ μὲν οὖν ὁ μάταιος τῶν ὄντων ἁπάντων τὸ κάλλιστον φιλίαν ἐνόμιζον καὶ ἐδόκουν ἐκεῖνό μοι, τὸ τοῦ λόγου, συμβήσεσθαι ἑκατὸν μὲν χεῖρας κεκτῆσθαι, ἑκατὸν δὲ πόδας καὶ τοσαύτας γε ἀκοὰς καὶ ὀφθαλμοὺς τοσούτους ὅσοι καὶ τῶν φιλούντων εἰσίν. Ἀλλ' εἰς τοὐναντίον συμβάν μοι τὸ πρᾶγμα ὁρῶ, ὧν γὰρ εἶχον ἐστέρημαι, τούτοις ἐμαυτὸν καταπιστεύσας ὁ δυστυχής. Τί ἄν τις πρῶτον, τί δ' ὕστερον ἀποκλαύσαιτο, τὰς ψευδεῖς τούτων καὶ ἀπατηλὰς ὑποσχέσεις ἢ τὰς συνθήκας, ἃς καὶ παρέβησαν, τὴν ἄπιστον αὐτῶν καρδίαν καὶ ἄσπονδον ἢ τὴν ἀναιδῆ γνώμην καὶ ἀνεπαίσχυντον; Εἴπατε δή μοι πρὸς τῆς Τριάδος αὐτῆς· πρὸς ὑμᾶς γὰρ ὁ λόγος τοὺς ὑποκρινομένους φιλεῖν· τί παρ' ἡμῶν παθόντες κακὸν ἢ τί πονηρὸν δόλους καθ' ἡμῶν μελετᾶτε καὶ ῥάπτετε, καὶ ἀντὶ φίλων γίνεσθε συκοφάνται, ἀντὶ δὲ συμμάχων ἐχθροὶ καὶ πολέμιοι; Τί ἔδει με τῶν ἀγαθῶν ὑμῖν ποιῆσαι καὶ οὐκ ἐποίησα; ποίαν εὐεργεσίαν παρέλιπον; τίνα τῶν πώποτε ἐπὶ φιλίᾳ βεβοημένων οὐχ ὑπερέβην ἐν τῷ φιλεῖν; ποῖον Ὀρέστην, ποῖον Πυλάδην οὐκ ἐμιμησάμην; Οὐχὶ τῶν ἁπάντων ἐσπούδασα πρὸς ὑμᾶς φανῆναι χρηστότερος; οὐχὶ ταῖς δωρεαῖς ὑπερβαλεῖν; οὐχὶ ταῖς φιλοτιμίαις ὑπερνικῆσαι; Ἀντὶ τίνος μοι ταῦτα ἀνταποδίδοτε; τί μικρὸν ἢ μέγα ἔχοντες ἐγκαλεῖν, τῆς πρός με ἀγάπης ἐξέστητε; Τί τόξα κατ' ἐμοῦ τείνειν ἐπιχειρεῖτε, τί βέλη ῥίπτετε, τί τὸν ἀδόλως καὶ καθαρῶς φιλοῦντα τιτρώσκετε; Λελήθατε ἑαυτοὺς τιτρώσκοντες, οὐκ ἐμέ. Εἰ μὲν οὖν ὀρθῶς ἀγι πᾶν προῃρεῖσθε, καλῶς τὴν ἀρχὴν τῆς πρὸς ἡμᾶς φιλίας ἐσπένδεσθε· ἐπεὶ δὲ δολερῶς καὶ πανούργως, τί καὶ τὸ χρηστὸν ὄνομα τὸ τῆς φιλίας αἰσχροῖς ἔργοις κατεμολύνατε καὶ παγίδα τοῖς ἡμετέροις ποσὶν ὑπεκρύψατε καὶ τὰς τριβόλους ῥόδοις ἐπεκαλύψατε, ἵνα ἀπατηθέντες τοὺς πόδας αἱμάξωμεν; Ἐχθρὸν μὲν ὁμοίως τῷ Ἅδῃ πρὸ ἡμῶν Ὅμηρος τὸν ἄνδρα ἐκεῖνον σοφῶς ἀπεφήνατο ὅστις ἄλλα μὲν κρύπτει ἐν ταῖς φρεσίν, ἄλλα δὲ λέγει. Ἐγὼ δέ, εἴ καί τι τοῦ Ἅδου ἐστὶν μισητότερον, τούτῳ ἂν τὸν τοιοῦτον ἀληθῶς παραβάλλοιμι, ὅτι πονηρὰ μὲν κατὰ τοῦ φιλοῦντος διανοεῖται, πονηρὰ δὲ κατ' αὐτοῦ μελετᾷ, καὶ ὃν ἔδει καὶ τῆς ψυχῆς αὐτῆς πλέον φιλεῖν, τοῦτον ἐν ἀνάγκαις καθυποβάλλων οὐκ ἐπιστρέφεται. Ἀλλ' εἴη μέν μοι βοήθεια ἐξ ἁγίου καὶ συνεργία παρὰ θεοῦ, ὅτι ἐν ἀκακίᾳ μου ἐπορεύθην καὶ ὡς πρόβατον ἐν μέσῳ λύκων συνα-

15. βεβυημένων

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

νεστραμμένην καὶ ἐφύλαξα τὰς ὁδοὺς Κυρίου, ἀδόλως ὑμᾶς ὡς φίλους φιλῶν. Αὐτοὶ δὲ ἀξίους τῶν ὑμετέρων ἔργων τρυγήσετε τοὺς καρπούς, καὶ ἀποδοθείη ὑμῖν ὡς πονηροῖς ἑπταπλασίονα τὰ κακὰ εἰς τὸν κόλπον ὑμῶν ἀνθ' ὧν κατεδιώξατε ἄνθρωπον κατανενυγμένον καρδίᾳ τοῦ θανατῶσαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

κη'.

### Τοῦ αὐτοῦ.

Ἐβουλόμην, κύριέ μου ἠγαπημένε, μέχρι παντὸς τῷ ἀδικεῖσθαι φιλοσοφεῖν καὶ ἀποστερούμενος καρτερεῖν. Ἐπεὶ δὲ οὔπω τελείως ἠδυνήθην διὰ φιλοσοφίας ὑπεράνω τῶν τῆς ὕλης γενέσθαι παθῶν, δάκνομαι καὶ ἀλγῶ τυραννούμενος. Διὰ τοῦτο ἠθέλησα ὑπομνῆσαί σε, ὅτι, εἰ οἱ φίλοι οὕτως ἐπηρεάζονται παρὰ τῶν ἀνθρώπων ὑμῶν, οἱ μὴ φίλοι πῶς; Καὶ τῇ πρὸ ταύτης γὰρ ἑβδομάδι τοῦ ὑδατοκράτορος ἐπ' ἴσης ὕδωρ λαβεῖν ἐπιτρέψαντος ἀμφοτέροις, κατεδυναστεύθημεν ὑπὸ τῶν ὀλιγαρχῶν ἀνθρώπων ὑμῶν, τὸ πᾶν λαβόντων αὐτῶν, καὶ τοῦ παντὸς ἡμεῖς ἐστερήθημεν διὰ τὸ μὴ βούλεσθαι ὤνιον αἵματος ὕδωρ λαβεῖν. καὶ νῦν δέ, ὁμοίως καὶ πάλιν ἐπ' ἴσης ὁρισθέντες ἀπὸ τοῦ κοινοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς ὑσθέντος λαβεῖν, ἐξώσθημεν καὶ ἀπερρίφημεν καὶ ἄνυδροι διατελέσαι κατεδικάσθημεν. Ταῦτα, εἰ καὶ μικροψυχίας δόξει πσίν, ἀλλ' οὖν ἐπειδὴ οὐκ ἀναισθήτως ὑπενεγκεῖν ἠδυνήθημεν ὑπομνῆσαί σε διεγνώκαμεν.

κθ'.

### Ἄλλη

Πολλή σοι χάρις, ἀδελφὲ ποθεινότατε, τὴν ἐκ διαστήματος ἡμερῶν οὐ πάνυ συχνῶν ἀλλήλων ἕνωσιν ἐκζητοῦντι καὶ ἔχειν τινὰ ταύτην ὄνησιν μαρτυροῦντι· οὐ γὰρ ἀπιστῶ λέγοντι, ὡς καὶ αὐτὸς

κη'. Περιλαμβάνεται ἐν φ. 77α—β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

6. τό 8. ὑπὲρ ἄνω 16. ὑσθέντες

κθ'. Περιλαμβάνεται ἐν φ. 77β—78β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀξιοῖς. Εἰ καὶ ταῦτα λέγεις σὺ ὁ ἐν τῷ πρυτανείῳ τῆς σοφίας ἔτι ἐνδιαιτώμενος καὶ τοσούτοις φιλίας καὶ σοφίας περιαντλούμενος ποταμοῖς, τί οἴει πάσχειν ἐμὲ τὸν ἐπὶ τῆς ἐσχατιᾶς ταύτης ἐν τοσούτῳ ἀμφοτέρων αὐχμῷ οἷον ἀμυδράν τινα θρυαλλίδα ἐκλείπουσαν καὶ ὥςπερ σπέρμα πυρὸς ὑπὸ συχνῇ σποδῷ καλυπτόμενον κατὰ μικρὸν ἐκλιμπάνοντα καὶ πρὸς ταύτην συναλλοιούμενον; Εἰ γὰρ καὶ τὰ τῶν ὑδάτων μὴ ἀπορρέοντα ἐν αὐτῷ τῷ περικαθῆσθαι καὶ συνέχεσθαι ἀποσήπεται καὶ τὰ μὴ στέγοντα τῶν ἀγγείων ἢν μὴ καὶ τὸ ἐπιρρέον ἔχῃ, ἀεὶ κενὰ παντελῶς ἐπιλείπεται τί χρὴ παθεῖν ἐμὲ τὸν μήτε ἐπιρροὴν δεχόμενον λόγων σοφῶν, μήτε, εἴ τις καὶ μικρὰ λιβὰς προσαπέκειτο, διέξοδον δοῦναι ταύτην δυνάμενον, οὐκ οὔσης γῆς εἰς ἀρδείαν ἐπιτηδείου, ἀλλὰ πάσης λιθώδους καὶ ἀντιτύπου καὶ ἀνεπιδέκτου λόγων ἐπιρροῆς; Ὅμως εἴθε ταῦτα ἐλύπει μόνον καὶ μὴ ἄλλοθεν καταιγίδες καὶ ζάλαι ἐπηγείροντο, ἅς τις κοιμίσει, εἰ ἐπὶ πλέον ὑπνώσει Χριστός; Ἀλλ' εἰ οἱ φιλοῦντες ταῖς εὐχαῖς ἐπαμύνειν μὴ κατοκνήσετε, ἴσως οὐ πάντη ἐγκαταλελειμμένος ὑπὸ θεοῦ εὑρεθῶ. Ἤκουσα δέ τι καὶ σὲ παραπολαῦσαι τῶν τοῦ καιροῦ, ἀλλ' οἰόμενος τῇ ἀκριβείᾳ σε χρήσασθαι Κάτωνος. Τὴν δὲ περὶ τὸν πλοῦν δυστυχίαν φυγεῖν ἐπὶ χρηστοτέρας ἐλπίδος εἰμί, εἰδὼς ὡς ἀποφράξει ταῦτα τῶν ἀναισχύντων τὰ στόματα.

## λ'.

### Ἄλλη

Τὰ ἐξ ὀποῦ στύρακος εὐώδη σύμβολα τῆς μυριπνόου ἐδεξάμην ἀγάπης σου, καὶ ἔκρινα, ὅτι με τῇ κατ' αἴσθησιν ταύτῃ ζωῇ προςκεῖσθαι οἰόμενος διὰ τοῦτο ταύτην μόνην τοῖς δώροις κατευωδίασας, μὴ προςθεὶς καὶ τὰ γεννήματα τῆς ψυχῆς, διὰ λόγων ἀπαγγελλόμενα, ἀφ' ὧν ἂν εἱστίασας καὶ τὸν νοῦν, οἷς ἐβουλόμην μάλιστα ἢ τούτοις ἥδεσθαί με ὑπολαμβάνειν σε. Ἀλλ' εἰ καὶ σὺ ἡμίτομον τὴν ἀγάπην ἐξέφηνας, ἀλλ' ἐγὼ φαῦλος μὲν καὶ πτωχικός· τί γὰρ πάθω; οὐκ ἔχω οὔτε δῶρα τῇ ἐμῇ προαιρέσει συμβαίνοντα, οὔτε λόγους

4. τῶν διαγραπτέον   17. δὲ τι

λ'. Περιλαμβάνεται ἐν φ. 78β—79α τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

σοφίας εὐωδιάζοντας ἄνθεσιν· ἀλλ' ὅμως δι' ἀμφοτέρων ἐμφανίζω μου τὸ φιλότιμον, ἐλαίῳ μὲν ἢ ὡς ἀθλητὴν ἀλείφων θεοῦ ἢ ὥς ἂν εἴη πεφωτισμένα τὰ τῆς πνευματικῆς ἀγάπης ὑμῶν διαβήματα, βραχέσι δὲ ὀσπρίοις τὸ ὀλιγοδεὲς ὑμῶν καὶ περὶ τὴν δίαιταν λιτὸν καὶ καθάριον δεξιούμενος, οὐ μόνον δέ, ἀλλὰ καὶ λόγοις φιλοφρονούμενος, ἀμόρφοις μὲν καὶ ῥυπῶσι, πλὴν οἵους ἡ ἀγροικία γεννᾷ, οὓς ὡς ἀγάπης ἐμπύρευμα καὶ ὡς εἰκόνα φιλίας ἀποδημούσης σοι τῷ καλῷ τῶν καλῶν εἰκονογράφῳ ἀποσταλέντας ἀπόδεξαι, τὸ φιλοῦν τῆς ψυχῆς ἐμφανὲς καθιστῶντάς σοι.

λα΄.

## Ἄλλη.

Οἱ μὲν κηροί, χρυσῷ στίλβοντες καὶ χρωμάτων ἀνθοῦντες βαφαῖς, σύμβολόν μοι δοκοῦσι φιλίας λαμπρόν· ἡ δέ ἐπὶ τοσοῦτον χρόνον σιγή, λήθης καὶ ἀφιλίας τυγχάνουσα γνώρισμα οὐ τοῦτό μοι δίδωσιν ἐννοεῖν. Πλὴν ἐπεί σε μιμούμενος ὑπὸ μέμψιν τίθεμαι καὶ τῷ μὴ γράφειν κατηγοροῦμαι, ἰδοὺ διὰ τῆς μικρᾶς ταύτης φωνῆς λύω τὴν σιωπήν, ἣν οὐ το [μὴ] φιλεῖν οὐδὲ τὸ λήθην ἐνεποίει λαβεῖν, ἀλλὰ τὸ λυπεῖσθαι μᾶλλον ἐν τῷ μὴ τοὺς φίλους μου πάσχειν δοκεῖν καὶ παραμυθεῖσθαι σπουδάζειν ἐν τοῖς γράμμασιν.

λβ΄.

## Ἄλλη.

Τὴν τῆς μετὰ ταῦτα σιγῆς, ὡς ἔοικεν, ἀδελφέ, ἀπολογίαν προοικονομῶν, ἣν ἔμελλες πρὸς ἡμᾶς ὑπελθεῖν, τὸν σχολαστὴν ἐφαίνου βίον ἐξαρνούμενος πρότερον καὶ δεῖξαι ἐσπούδαζες οἵαις ἀσχολίαις ἐπληρώθη σου ἡ ζωή. Ἀλλ' ἐγὼ οὔτε τότε τῷ μὴ σχολάζειν σε σοφίᾳ καὶ λόγοις καὶ ἀρετῇ συνεθέμην, οὔτε νῦν ἐπαινῶ σιγῶντα. Πότε γὰρ ἔσται σοι καιρὸς ἐπιτηδειότερος εἰς τὸ διὰ λόγων παρη-

λα΄. Περιλαμβάνεται ἐν φ. 79α—β τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

11. φιλίας 15. τῶ φιλεῖν τῶ 17. τῶ

λβ΄. Περιλαμβάνεται ἐν φ. 79β—80α τοῦ Βιενναίου κώδικος Phil. gr. 342.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γορεῖν; Οὐκ ἐν θλίψεσι τὰ ἡμῶν; Οὐ πανταχόθεν ἐπηρεαζόμεθα; Οὐχὶ φιλανθρώπῳ δόγματι τοῦ ὑπὲρ ἑαυτῶν τι ὅλως εἰπεῖν ἐκωλύθημεν; Οὐκ ἴσα τοῖς ἐπ' αὐτοφώρῳ ληφθεῖσιν ἐν παρανόμοις ἀπόντες κατεδικάσθημεν; Τῆς οὖν δι' ἔργων ἀπούσης φιλίας παρὰ τῶν φίλων μου, ἵνα τί καὶ διὰ λόγων παραμυθία ἀπολιμπάνεται; Ὅμως ὑμεῖς ὑπὸ τοῦ πλούτου τῆς σοφίας καὶ τῆς φιλίας τρυφῶντες τῶν οὐχ ὁρωμένων ἐπιλανθάνεσθε. Ἡμεῖς δέ, οἵους εὑρεῖν ἑτέρους οὐκ ἔχοντες, ἀναγκαίως ἀεὶ καὶ ἐπὶ τῆς διανοίας περιφέρομεν καὶ πρὸς τὴν ἀνάμνησιν ἡμῶν ἐκκαλούμεθα καὶ τὰς φιλικὰς προςφωνήσεις ὡς ὀφειλὰς εἰςπράττόμεθα. Τοίνυν, εἰ μὲν δυνατόν, καὶ μνήμῃ τιμᾶτε καὶ γράμμασιν· εἰ δ' ἑκάτερα ποιεῖν οὐ σχολή, κἂν τῆς μνήμης καὶ τῆς εὐχῆς μὴ ἐκβάλλητε.

(Ἕπεται συνέχεια)

---

3. ἐπαυτοφόρω 6. τρυφῶτες 10—11 τιμᾶται

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006